Fr. 14. Athen. XIII 599 C: *Χαμαιλέων δ' ἐν τῷ περὶ Σαπφοῦς καὶ λέγειν τινάς φησιν εἰς αὐτὴν πεποιῆσθαι ὑπὸ Ἀνακρέοντος τάδε· Σφαίρῃ κτλ.* Ipsius haud dubie Anacreontis carmen est, sed male poetam ad Sapphonem respexisse putaverunt. Welcker (Mus. Rhen. XI 230 seqq.) censet priorem tantum stropham Anacreontis, versus novissimos subditicios esse. — V. 1. *Σφαίρῃ δηὖτέ με* Seidler, vulgo *σφαίρῃ δεῦτε με* (sic L, *σφεραῖρει με* V, *σφεραίρει με* P). — *πορφυρέῃ βάλλων* Pauw, codd. *πορφύρ' ἐνιβάλλων.* — V. 3. *νήνι ποικιλοσαμβάλῳ* Seidler, codd. *νηνι (ννι) ποικίλος λαμβάνω.* Cf. Et. Sorb. (Et. M. 448, 29 not.) *Μήτι διὰ τοῦ ῑ, ὥσπερ ἀπὸ τοῦ νεανὶς κατὰ κρᾶσιν γίνεται νήνις, καὶ*

ἡ δ', ἐστὶν γὰρ ἀπ' εὐκτίτου 1016
Λέσβου, τὴν μὲν ἐμὴν κόμην,
λευκὴ γάρ, καταμέμφεται,
πρὸς δ' ἄλλον τινὰ χάσκει.

15.

Οὐ δηῦτ' ἔμπεδός εἰμι,
οὐδ' ἀστοῖσι προσηνής.

16. [51.]

Μυθῖται δ' ἀνὰ νῆσον,
Μεγίστη, διέπουσιν
ἱρὸν ἄστυ (Νυμφέων).

ἐκεῖθεν νήνιος, νήνιϊ καὶ κράσει τῶν δύο ιι εἰς ἓν μακρὸν νήνι, οἱ νήνι ποικιλους ἀμβάλω. — V. 5. *εὐκτίτου* Barnes, v. *εὐκτικοῦ*. — V. 8. *ἄλλον* Pauwius et Delecamp, libri *ἄλλην*.

Fr. 15. Chrysipp. *περὶ ἀποφατικῶν* c. 22: *Εἰ οὕτως ἀποφαίνοιτ' ἄν τις· δεῦτε ἔμπεδός εἰμι οὐδ' ἀστοῖσι προσηνής, Ἀνακρέων οὕτως ἀπεφήνατο· οὐ δεῦτε ἔμπεδος κτλ.* Scripsi *δηῦτ'*. Sed vereor ne gravius vitium delitescat scripseritque poeta: *οὐδ' εὐπέμπελός εἰμι*, nam quod Chrysippi librarius *δεῦτε ἔμπεδος* exhibet, hoc non multum valet.

Fr. 16. Schol. Hom. Od. φ 71: *Μύθου· νῦν τῆς στάσεως, ὅθεν καὶ Ἀνακρέων τοὺς ἐν τῇ Σάμῳ ἁλιεῖς ὄντας στασιαστάς φησιν· μυθηταὶ δ' ἂν νήσῳ μεγίστη διέπουσιν ἱερὸν ἄστυ.* Eust. 1901, 44 affert *μυθηταὶ δ' ἐν νήσῳ διέπουσιν ἱερὸν ἄστυ*. — V. 1. *μυθῖται* scripsi, cf. Apoll. Lex. Hom. 114, 3: *Μῦθος, λόγος, ὁ δὲ Ἀνακρέων μυθιήτας τοὺς στασιώτας εἶπεν.* et Etym. M. 593, 48: *ὅθεν καὶ Ἀνακρέων ἐν τῷ δευτέρῳ τῶν μελῶν μυθίας* (MV *μυθίτας*) *τοὺς στασιαστὰς ἐπὶ τῶν ἁλιέων λέγει.* Cf. Apoll. in Bekk. An. II 524, 5. Adde Et. Gud. 84, 1 et Steph. Byz. v. *Αἴγινα*. Ac *μῦθος* similiter dictum, non solum Hesychius *στάσις* interpretatur (qui etiam *μυθητῆρες· στασιασταί* et *μυθίτης· ὁ στασιώτης* habet), sed restituendum etiam Batrachom. 135: *σκεπτομένων δ' αὐτῶν πόθεν ἡ στάσις ἢ τίς ὁ μῦθος*, ubi interpolati libri *ὅμιλος* vel *ὁ θρύλλος* exhibent. — *ἀνὰ νῆσον* Buttmann, *ἂν νήσῳ* (*ἐν νήσῳ*) ortum ex librariorum errore, qui cum proximo *μεγίστη* v. 2 conciliare studebant: sed poeta hic quoque alloquitur Megistem, quemadmodum in alio carmine item libri secundi fr. 42; atque hic *Μεγίστη* legendum esse etiam Hecker et L. Dindorf suspicati sunt. Hartung scripsit:

μυθιῆται
ἀνὰ νῆσόν τε, Μεγίστη, διέπουσιν
ἱερόν τ' ἄστυ τὸ Νυμφέων.

Schmidt *μυθῖται δ' ἁλιῆες, ὦ Μεγίστη, | ἱερὸν διέπουσιν ἄστυ Νυμφέων*. — V. 3. *ἱρὸν* Buttmann, legebatur *ἱερόν*. — *Νυμφέων* addidi, vid. Hesych.: *Ἄστυ Νυμφέων· τὴν Σάμον, Ἀνακρέων, ἐπεὶ ὕστερον*

17. [16.]

Ἠρίστησα μὲν ἰτρίου λεπτοῦ μικρὸν ἀποκλάς,
οἴνου δ' ἐξέπιον κάδον, νῦν δ' ἁβρῶς ἐρόεσσαν
ψάλλω πηκτίδα τῇ φίλῃ κωμάζων παϊδὶ ἁβρῇ.

18. [5.]

Ψάλλω δ' εἴκοσι (Λυδόν)
χορδῇσιν μαγάδην ἔχων, ὦ Λεύκασπι, σὺ δ' ἡβᾷς.

19. [17.]

Ἀρθεὶς δηῦτ' ἀπὸ Λευκάδος
πέτρης ἐς πολιὸν κῦμα κολυμβῶ μεθύων ἔρωτι.

εὔυδρος ἐγένετο. Poeta loco Pherecratei versus substituit tripodiam trochaicam, ut Corinna fr. 2 v. 3 et fr. 19 v. 3. Blass, qui *Νυμφέων* alienum esse censet, ut solet hic quoque ionicos dimetros deprehendit . . . *μυθιῆται δ'* | *ἀνὰ νῆσον, ὦ Μεγίστη,* | *διέπουσιν ἱρὸν ἄστυ.*

Fr. 17. Hephaest. 59: *Τὸ δὲ τὴν δευτέραν ἰαμβικὴν ἔχον καλεῖται Πριάπειον, οἷον· Ἠρίστησα μὲν κτλ. Πολυσχηματισμένον μὲν οὖν αὐτὸ ποιοῦσιν, ἀλλὰ τό γε καθαρῶς ἐσχηματισμένον ἐστὶ τοιοῦτον.* — V. 1 affert etiam s. poetae n. Schol. Heph. 104: *Ἠριστήσαμεν* (ita ibi legitur, et in fine Turn. E *ἀπόκλασμα*). Anacreontis esse versus docet Athen. XI p. 472 E: *Κάδος· Σιμμίας ποτήριον, παρατιθέμενος Ἀνακρέοντος· ἠρίστησα . . . κάδον.* Eadem repetit XIV 646 D. Cf. Poll. X 70: *καὶ Ἀνακρέων δέ φησιν· Οἴνου δ' ἐξέπιον κάδον.* et Apollon. Lex. Homer. 166, 6. V. 1 et 2 et praeterea *ψάλλω* affert Apostol. VIII 68 c. — V. 1. *λεπτοῦ μικρὸν* Heph., *λεπτὸν* Ath. — V. 2. *ἐξέπιον*, Ath. altero loco *ἔπιον*. — *κάδον* ap. Heph. NCH, alii *κάδδον*. — V. 3. *παϊδὶ ἁβρῇ* Hermann, nisi *παῖδ' ἁβρῇ* cum Hotchkisio malis, Hephaestionis libri et edd. *παιδὶ ἁβρῇ, ποδὶ ἰ ἁβρῃ, ποδὶν ἁβρῶς*, Scaliger *ποδὶ ἁβρῷ*, Hartung *Πολυνέβρῃ* quod nomen inauditum, Emperius *ποδὶ λαβρῷ*. Elisionem, cuius exempla nulli dubitationi obnoxia apud epicos veteres reperiuntur, etiam lyrici poetae passim admiserunt, velut Pindarus Ol. IX 112, sed Nem. V 6 non multum interest, utrum *ματέρ'* an *ματρὶ* scribatur, Ol. VIII 52 certa emendatione procuravi. Adde atticum titulum in insula Imbro repertum CIGr. II 2156 *Κήρυκι ἀθανάτων Ἑρμῇ στῆσάν μ' ἀγοραίῳ*, sed incertae lectionis est antiqua inscriptio attica, in qua *παίδ' ὦ ἐπέθηκε θανόντι* legitur, secundum Rossii (Archaeol. Aufs. II 581) interpretationem (in lapide est *ΘΑΝΑΤΟΙ*, unde Rangabis *παίδοι[ν] ἐπ. θανόντοιν* legit), item Aeschyli versus Pers. 851 *ὑπαντιάζειν παίδ' ἐμῷ πειράσομαι* suspectus.

Fr. 18. Athen. XIV 634 C: *ὁ μὲν γὰρ ἥδιστος Ἀνακρέων λέγει που· Ψάλλω κτλ.* Eadem repetit 635 C usque ad *Λεύκασπι*. — V. 1. *Λυδόν* adieci, cf. Athen. XIV 634 F: *ἡ γὰρ μάγαδις ὄργανόν ἐστι ψαλτικόν, ὡς Ἀνακρέων φησί, Λυδῶν τε εὕρημα.* — V. 2. *χορδῇσιν μαγάδην* scripsi, vulgo *χορδαῖσιν μάγαδιν*, vid. Pollux IV 61: *μαγάδην* (A *μήδην*, Bekker *μαγάδιν*) *δ' ὀνομάζει μὲν Ἀνακρέων.* — *ἔχων*, Hecker *λέγων*, idem *συνήβα* coniecit pro *σὺ δ' ἡβᾷς*. Hartung scripsit: *ψάλλω δ' εἰκοσίχορδον Λυδίην μαγάδην ἔχων· ὦ Λεύκασπι, συνήβα.*

Fr. 19. Hephaest. 130: *Ὅταν δὲ ἔμπαλιν ἡ τάξις ᾖ, προῳδὸς*

20. [18.]

Τίς ἐρασμίην
τρέψας θυμὸν ἐς ἥβην τερένων ἡμιόπων ὑπ' αὐλῶν
ὀρχεῖται;

ΕΙΣ ΑΡΤΕΜΩΝΑ.

21. [19.] 1018

Ξανθῇ δέ γ' Εὐρυπύλη μέλει
ὁ περιφόρητος Ἀρτέμων·

καλεῖται, ὡς παρ' Ἀνακρέοντι· Ἀρθεὶς κτλ. Affert etiam Apostol. III 90c, et verba *μεθύων ἔρωτι* Philostr. Imag. I 15. — V. 1. *δηὖτ'* scripsi, vulgo *δ' ηὖτ'*, A *δηὖτ'*. — *Λευκάδος*, fort. *λευκάδος* praestat; cf. Eurip. Cyclop. 166. Hartung *λισσάδος* suspicatur. — V. 2. *ἐς*, A *εἰς*. — *κολυμβῶ*, Schneidewin *κολυμβέω*.

Fr. 20. Athen. IV 177A: *Οἴδαμεν δὲ καὶ τοὺς ἡμιόπους καλουμένους, περὶ ὧν φησιν Ἀνακρέων· Τίς ἐρ. τρέψας* (θρέψας PVL) *θ. ἐσέβην τέρεν' ὡς ἡμίοπον ὑπ' αὐλῶν ὀρχεῖται* (AB, *ὀρχείσθαι* PVL). — V. 2. *ἐς ἥβην* correxi, itaque Mehlhorn emendavit, *τερένων ἡμιόπων* Casaubonus correxit, cf. Athen. IV 182C: *εἰσὶ δ' οἱ αὐτοὶ τοῖς παιδικοῖς καλουμένοις, οἷς οὐκ οὖσιν ἐναγωνίοις πρὸς τὰς εὐωχίας χρῶνται, διὸ καὶ τέρενας αὐτοὺς* (ἡμιόπους) *κέκληκεν ὁ Ἀνακρέων.* Conieci ab initio pueri nomen intercidisse ac scribendum esse *τὶς ἐρασμίην . . . ὀρχείσθω*, cf. Ion fr. 2, 10 *ὀρχείσθω τις*. Ad Bathyllum hos versus pertinere iam olim suspicatus sum, cuius nomen sane in germanis Anacreontis reliquiis nusquam comparet, cum frequens sit in subditiciis cantilenis, at Anacreontem multum fuisse in hoc puero laudando idonei testes arguunt, vide quae in ed. Anacr. (1834) p. 107 seq. scripsi. Etiam aliorum puerorum nomina fortasse nunc penitus oblitterata, sed quod in vasculo picto Volcente (Cabinet Durand n. 428) ubi *ANAKPEON* fidibus canens conspicitur adstantibus duobus adulescentulis alteri adscriptum est *ΝΤΦΕΣ ΚΑΛΟΣ*, non satis tuto colligas nomen *Νύμφης* ex poetae aliquo carmine petitum esse.

Fr. 21. Athen. XII 533E: *Χαμαιλέων δ' ὁ Ποντικὸς ἐν τῷ περὶ Ἀνακρέοντος προθεὶς τό· Ξανθῇ δ' Εὐρυπύλη μ. ὁ π. Ἀ., τὴν προσηγορίαν ταύτην λαβεῖν τὸν Ἀρτέμωνα διὰ τὸ τρυφερῶς βιοῦντα περιφέρεσθαι ἐπὶ κλίνης. καὶ γὰρ Ἀνακρέων αὐτὸν ἐκ πενίας εἰς τρυφὴν ὁρμῆσαί φησιν ἐν τούτοις· Πρὶν μὲν κτλ.* — V. 1. *Ξανθῇ δέ γ'* scripsi, CL *ξανθῇ δ'*, sed PV *ξανθῇ δ' ἐν*. Hartung nomen mulieris corruptum esse censet, et coniecit *ξανθῇ δὲ Νεοφίλῃ*. — V. 2. *περιφόρητος Ἀρτέμων* resp. Schol. Arist. Acharn. 830. Plut. vit. Pericl. c. 27; cf. etiam Paroemiogr. T. I 441 et Miller Misc. 356. — Ceterum valde dubito an v. 1 et 2 cohaereant cum reliquis: videntur enim hi duo versus ad aliud carmen referendi, quod *dimetris iambicis* conscriptum, ut iam anapaestus pro iambo in nomine proprio nihil habeat offensionis. Quodsi v. 1 et 2 seiunxeris, nihil iam obstat, quominus hoc carmen integrum et omni ex parte absolutum esse credatur, id quod etiam Blassio visum. Et in illo quidem carmine fortasse poeta mollitiem Artemonis perstrinxerat lectica utentis, unde *περιφόρητος*

πρὶν μὲν ἔχων βερβέριον, καλύμματ' ἐσφηκωμένα,
καὶ ξυλίνους ἀστραγάλους ἐν ὠσί, καὶ ψιλὸν περί
πλευρῇσι (δέρμ' ἦει) βοός,
νήπλυτον εἵλυμα κακῆς ἀσπίδος, ἀρτοπώλισιν
καὶ θελοπόρνοισιν ὁμιλέων ὁ πονηρὸς Ἀρτέμων,
κίβδηλον εὑρίσκων βίον·
πολλὰ μὲν ἐν δουρὶ δεθεὶς αὐχένα, πολλὰ δ' ἐν τροχῷ,
πολλὰ δὲ νῶτον σκυτίνῃ μάστιγι θωμιχθείς, κόμην
πώγωνά τ' ἐκτετιλμένος.
νῦν δ' ἐπιβαίνει σατινέων, χρύσεα φορέων καθέρματα
πάϊς Κύκης, καὶ σκιαδίσκην ἐλεφαντίνην φορεῖ
γυναιξὶν αὔτως.

dictus est: nam in hoc quidem carmine non lecticae, sed curriculi usum exprobrat homini effeminato; cf. Heraclidem Ponticum ap. Plut. Pericl. 27, qui quidem locus vitio manifesto laborat, nam verba *χαλκῆν ἀσπίδα τῆς κεφαλῆς αὐτοῦ δυεῖν οἰκετῶν ὑπερεχόντων, ὥστε μηδὲν ἐμπεσεῖν τῶν ἄνωθεν* aliena sunt a Pontici narratione: Ephorus haec de Artemone mechanico, quem Periclis aequalem fuisse prodidit, dixerat, atque illa verba collocanda sunt post *ὀνομάζεσθαι περιφόρητον*: postea subiecit Plutarchus, quae Heraclides contra Ephorum disputaverat. — V. 3. *βερβέριον* ABPV, *βερβέρινα* L, *κερβέριον* Schweighaeuser. — *καλύμματ'* L, sed BPV *κάλυμμά τ'*, Hartung *κἀνδύματ'*. Meineke *κάλυμμά τ' ἐσφηκωμένον*. — V. 4. *ὠσί*, B *ὠσίν*. — V. 5. *δέρμ' ἦει* sive *δέρμ' ἔβη* malis adieci ut et versus numerum et sententiam redintegrarem: nam verbum *ἦει* vel tale quid omnino requiritur, quoniam ante acta vita Artemonis describitur, postea inde a v. 12 praesens conditio hominis oculis subiicitur *νῦν δ' ἐπιβαίνει*. Nullo igitur pacto v. 3—11 coniungere licet cum *μέλει* v. 1; atque etiamsi v. 1 et 2 ab hoc carmine seiunxeris, vel sic verbo *ἦει* non possumus carere. Antea explevi lacunam vocabulo *δέρριον*, Schoemann *δερμάτιον* adversante metro, Meineke *δέρμ' ἔχων*, ubi *ἔχων* prorsus otiosum. — V. 6. *νήπλυτον* Schoemann, APV *νεόπλουτον*, CL *νεόπλυτον*, Hartung *κἄπλυτον*, ego *νεόλυτον* conieci. — *εἵλυμα* AC, *εἴλυμα* B, *εἴλημα* PVL. — *ἀρτοπώλισιν* A, *ἀρτοπώλοισιν* BPV, *ἀρτοπώλησιν* CL. — V. 7. *καθελοπόρνοισιν* scripsi, *κἠθ.* Elmsley, *καὶ ἐθέλοπόρνοισιν* vulgo, *καὶ ἐθελοπόροισιν* PV. — *Ἀρτέμων* VL, sed ABP *ὁ Ἀρτέμων*. — V. 8. *εὑρίσκων*, Blass coniecit *εὕρισκεν*. — V. 9. *δεθεὶς* Herwerden et Cobet emendaverunt, libri *τιθείς*. — V. 10. *δὲ νῶτον* scripsi, Elmsley *δὲ νῶτα*, P *δὲ νώτῳ*, B *δ' ἐν ὠτω*, VL *δ' ἐν νώτῳ*. — *σκυτίνῃ* Elmsley, ABV *σκυτίνῳ*, P *σκυθίνῳ*, L *σκυτίνᾳ*. — *θωμιχθείς*, P *θωμιθείς*. — V. 12. *σατινέων* PL, *σατινεται* V. — *φορέων* L, sed ABPV *φαρέων*. — V. 13. *πάϊς* Dindorf, vulgo *παῖς*, Hermann *παῖς ὁ Κύκης*, Hartung *παῖς Κικύμης*. — *φορεῖ*, Elmsley *φορέει*, malim *φέρει*. — V. 14. Schoemann ut versum compleret *ἐμφερής* extremo loco adiecit: at *αὔτως* iam satis superque comparationi inservit. Mihi Anacreon

ἁβραῖς γυναιξὶν αὔτως

videtur scripsisse, versu catalectico usus, quandoquidem haec stropha

22. [20.]

Σίμαλον εἶδον ἐν χορῷ πηκτίδ' ἔχοντα καλήν.

23. [21.] 1019

Ἐκ ποταμοῦ 'πανέρχομαι πάντα φέρουσα λαμπρά.

24. [22.]

Ἀναπέτομαι δὴ πρὸς Ὄλυμπον πτερύγεσσι κούφαις διὰ τὸν Ἔρωτ'· οὐ γὰρ ἐμοὶ παῖς ἐθέλει συνηβᾶν.

25. [23.]

(Ἔρως), ὥς μ' ἐσιδὼν γένειον ὑποπόλιον χρυσοφαέννων πτερύγων ἀήταις παραπέτεται.

carminis novissima fuit. Idem censet Blass, nisi quod (ἁβραῖς) φορεῖ mavult.

Fr. 22. Hephaest. 101: *Ὥσθ' ὅλον αὐτὸ χοριαμβικὸν ἐπίμικτον γενέσθαι, ὅμοιον τῷ Ἀνακρεοντείῳ τῷδε· Σίμαλον κτλ.* (B *Σίμαλλον*, Fl *Σίμετρον*). — *πηκτίδ'*, CS *πυκτίδ'*.

Fr. 23. Hephaest. 52: *Πολὺ δέ ἐστι καὶ τὸ πρὸς τῇ κατακλεῖδι τὴν δευτέραν συζυγίαν ἰαμβικὴν ἔχον, οἷόν ἐστι παρὰ μὲν Ἀνακρέοντι· Ἐκ κτλ.* CMP *παρέρχομαι*. Affert Apostol. VI 88 c ubi *καλά* pro *λαμπρά*.

Fr. 24. V. 1 affert Hephaest. 52: *Ἀνακρέων δὲ ἐπετήδευσε τὴν πρώτην συζυγίαν δ' ὅλου ᾄσματος ἐκ τριβράχεος καὶ ἰάμβου ποιῆσαι, ὡς εἶναι κοινὴν λύσιν τῆς τε χοριαμβικῆς καὶ τῆς ἰαμβικῆς· Ἀναπ. κτλ.* ibique Sch. repetit. Gramm. ined. in cod. Paris. 2881 fol. 141: *Ἀνακρέων δὲ ἐπετήδευσε τὴν πρώτην συζυγίαν ἐκ τριβράχεος καὶ ἰάμβου ποιῆσαι, ὅθεν ἴσως καὶ χοριαμβικὸν ἐκλήθη κατὰ τὸν Λογγῖνον· μᾶλλον γὰρ τροχιαμβικὸν οὕτως καλεῖσθαι ὤφειλεν· οἷον τὸ· ἀναπέτομαι . . . πτερύγεσι κούφαις.* Integrum locum Schol. Arist. Av. v. 1372 affert: *ταῦτα δὲ παρὰ τὰ Ἀνακρέοντος· Ἀναπέτομαι πρὸς Ὄ. π. κ. διὰ τὸν ἔρωτα· οὐ γὰρ ἐμοὶ θέλει συνηβᾶν. διὸ καὶ τὸ χ ἔχουσιν οἱ δύο στίχοι.* — V. 1. *κούφαις*, Schneidewin *κούφῃς* sicut fr. 25 *ἀήτῃς*. Recte v. 2 Porsonus scripsit *παῖς ἐθέλει*. Resp. huc Iulian. Epist. XVIII et huc refero etiam Himer. Or. XIV 4: *τάχα δ' ἂν καὶ ἠπείλησα τὴν ἀπειλήν, ἣν Ἀνακρέων ἀπειλεῖ τοῖς Ἔρωσιν· ἐκεῖνος γάρ ποτε ἐρασθεὶς ἐφήβου καλοῦ, ἐπειδήπερ ἑῴρα τὸν ἔφηβον ὀλίγον αὐτοῦ φροντίζοντα, λύραν ἁρμόσας ἠπείλει τοῖς Ἔρωσιν, εἰ μὴ αὐτῷ τιτρώσκοιεν αὐτίκα τὸν ἔφηβον, μηκέτι μέλος εὔφημον εἰς αὐτοὺς ἀνακρούσασθαι.*

Fr. 25. Lucian. Herc. Gall. c. 8: *ὥστε ἰσχὺς μὲν καὶ τάχος καὶ κάλλος καὶ ὅσα σώματος ἀγαθὰ χαιρέτω, καὶ ὁ ἔρως ὁ σός, ὦ Τήϊε ποιητά, εἰσιδών (ἐσιδών* FQ) *με ὑποπόλιον γένειον, χρυσοφαέννων (χρυσοφαεννῶν* A, *χρυσὸν φαεννῶν* B, *χρυσοφαέων* aY) *εἰ βούλεται, πτερύγων ἢ ἀετοῖς παραπετέσθω.* quae emendavi, sunt autem ex eodem carmine, ex quo petitum est fr. 24.

26. [24.]

Χεῖρά τ' ἐν ἠγάνῳ βαλεῖν.

27. [25.]

Ἥλιε καλλιλαμπέτη.

28. [26.]

Ἀσπίδα ῥίψας ποταμοῦ καλλιρόου παρ' ὄχθας.

29. [122.]

. . . Ἐγὼ δ' ἀπ' αὖτις φύγον ὥστε κόκκυξ.

30. [27.]

Τὸν μυροποιὸν ἠρόμην Στράττιν εἰ κομήσει.

31. [28.]

Δακρυόεσσάν τ' ἐφίλησεν αἰχμάν.

Fr. 26. Athen. VI 229 B: *Χωρὶς δὲ τοῦ τ στοιχείου Ἴωνες ἤγανον λέγουσιν, ὡς Ἀνακρέων· Χεῖρα κτλ.* Eadem Eust. Od. 1862, 12. Cf. id. Il. 244, 46 et 701, 18. — *χεῖρα*, Meineke *χῖδρα*.

Fr. 27. Priscian. VII 7: „Nec mirum, quum Graecorum quoque poetae similiter inveniantur protulisse vocativos in supradicta terminatione. Anacreon *Ἥλιε καλλιλαμπέτη* posuit pro *καλλιλαμπέτα*." ubi codd. varias corruptelas exhibent neque tamen lectio incerta. *Καλλιλαμπέτη* hic affert Et. M. 670, 19. Cram. An. Ox. III 389, 21. 390, 14. Favorin. 363.

Fr. 28. Attil. Fortunat. 359: „Secundum colon Anacreon sic: *Ἀσπίδα ῥῖψ' ἐς π. καλλιρόου προχοάς.* Ita Ursinus, cod. (B) Gaisf. *ῥίψες ποταμον ιλλιροου τροχοας.* (cod. A Keilii *ἀσπ. ῥιψ' ἐσ ποταμῶν κα ιλλιροου τροχοὰς.*) Quae correxi, nam metrum choriambicum requiriritur; Schneidewin coni. *καλλιρόοιο δίνας*. Est autem hic versus ex eodem, opinor, carmine, ex quo fr. 29, qui non trimeter sed tetrameter primo pede carens est, videturque unus tantum versus ⏑ ∪ ∪ – ∪ – – inter fr. 28 et 29 intercidisse.

Fr. 29. Et. Gud. 333, 22: *Κόκκυξ· ὄρνεον ἐαρινὸν παραπλήσιον ἱέρακι, ἢ ὄρνεον δειλότατον, ὡς Ἀνακρέων φησί· ἐγὼ δ' αὐτῆς φεύγω ὥστε κόκκυξ.* Cf. Et. M. 524, 51 ubi Havn. et Flor. *ἀπ' αὐτῆς φεύγω*, V *ἀπ' αὐτῆς φάγω*. Scripsi *ἀπ' αὖτις*, Schneidewin *φύγον*, qui praeterea *ἀὖτῆς* coni.

Fr. 30. Hephaest. 96: *Ἀνακρέων οὐκ ἰαμβικῷ, ἀλλὰ χοριαμβικῷ ἐπιμίκτῳ πρὸς τὰς ἰαμβικὰς ἐπήγαγε τὸ ἰθυφαλλικόν· Τὸν λυροποιὸν κτλ.* (E Turn. *στράτιν* et *κομίσει*). Emendavi auctore Poll. VII 177: *μυροποιός· Ἀνακρέων. — ἠρόμην*, Hecker *ἠχθόμην*.

Fr. 31. Hephaest. 52: *Τρίμετρα δέ, οἷον τὸ Ἀνακρέοντος· Δακρυόεσσάν κτλ.* ubi N *ἐφίλησαν*. Repetit Schol. Heph., adde Schol. Hermog. Rhett. VII 488 ubi *δακρυόεσσά τε φίλησεν αἰχμήν*, unde *αἰχμήν* videtur restituendum.

32. [29.]

Ὠινοχόει δ' ἀμφίπολος μελιχρόν
οἶνον, τρικύαθον κελέβην ἔχουσα.

33. [30.]

Οὐδ' ἀργυρέη κω τότ' ἔλαμπε πειθώ.

34. [31.]

Εἶμι λαβὼν ἐς Ἥρης.

35. [32.] 1021

Ἱπποθόρον δὲ Μυσοί
εὑρεῖν, μῖξιν ὄνων πρὸς ἵππους.

36. [36.]

Αἰνοπαθῆ πατρίδ' ἐπόψομαι.

Fr. 32. Athen. XI 475F: *Ἀνακρέων· Ὠινοχόει κτλ.*

Fr. 33. Schol. Pind. Isth. II 9: *Τοιοῦτον δέ τι καὶ Ἀνακρέων εἴρηκε, καὶ μήποτε ἡ ἀπότασίς ἐστιν εἰς τὰ ὑπ' ἐκείνου εἰρημένα· φησὶ γάρ· οὐδ' ἀργυρέη κότ' ἔλαμπε Πειθώ.* ed. Rom. *ἢ κότε ἔλ. πυθώ.* scripsi *κω τότ'*, Schneidewin *κώκοτ'*. Ceterum cf. Tzetz. Chil. VIII 828.

Fr. 34. Attil. Fortunat. 359 ed. Gaisf.: „Apud Anacreontem: *εἰμὶ λαβὼν εἰσάρας.*“ Scripsi *εἶμι λαβὼν ἐς Ἥρης*, antea *ἐς ὥρας* conieci; emendatio incerta.

Fr. 35. Schol. Hom. Il. ω 278: *Μυσοὶ πλησίον ὄντες Ἐνέτων, ὅθεν ἡμιόνων γένος, ἢ ὡς καὶ παρὰ Μυσοῖς διαφόρων ὄντων· Ἀνακρέων· Ἱππόθορον . . . ἵππους, ἐξ ὧν ἡμίονοι.* — V. 1. *ἱπποθόρον* dicere videtur *νόμον*, cui hoc nomen fuit inditum, atque explicandi gratia subiecit *μῖξιν κτλ.*, ut non opus sit Schneidewini coni. *ἱπποθόρῳ*. — V. 2. *εὑρεῖν*, fort. *εὕρον* legendum. Hartung *πρὸς ἵππους* delet. Hecker omnino Anacreonti abiudicat, corrigens *Ἡρακλέων*.

Fr. 36. Schol. Hom. Od. μ 313: *Αἰνοπαθῆ πατρίδ' ἐπόψομαι· παρ' Ἀνακρέοντι.* Adde Cram. Anecd. Par. III 480, 31: *Ἔδει χωρὶς τοῦ ν ξαῆ, ὡς τὸ ἀκραῆ Ζέφυρον, ἔστιν οὖν Αἰολικὸν τὸ μετὰ τοῦ ν καὶ ἔδει αὐτὸ Αἰολικῶς βαρύνεσθαι, ὡς τὸ αἰνοπαθῆ πατρίδ' ἐπόψομαι παρὰ Ἀνακρέοντι.* videtur Anacreon scripsisse: *Αἰνοπαθῆν ἵνα πατρίδ'* (vel *Ἀθαμαντίδα πατρίδα*, vid. fr. 117) *ἐπόψομαι*, sed Aeolicus accentus non requiritur; ac fortasse poeta forma *αἰνοπαθῆν* etiam sine metri necessitate usus est, quemadmodum est in Siculo epigrammate haud ineleganti *θυμαρῆν βιοτᾶς ὄλβον ἔχοιεν ἀεί*, ubi Ritschl Op. I 785 perperam *θυμαρῆ* correxit.*) Hartung *αἰνοπαθὴν ἀπάτερθεν* (vel *Ἀθαμαντίδ'*) *ἐπ.* Hermann Opusc. VI 1, 272 coniungit cum Hesiodi frag-

*) *Θυμαρῆν* dedi obsecutus Herodiano, qui praecipit oxytonon esse *θυμαρής*, paroxytonon *θυμήρης*, sed subtilius quam verius hoc discrimen excogitavisse videtur.

37. [35.]

. . Χήλινον ἄγγος . . . .
ἔχον πυθμένας ἀγρίων σελίνων.

38. [36.]

Ἀσήμων ὑπὲρ ἑρμάτων φορεῦμαι.

39. [37.] 1022

Πλεκτὰς δ' ὑποθυμίδας
περὶ στήθεσι λωτίνας ἔθεντο.

40. [38.]

Σὲ γάρ φη
Ταργήλιος ἐμμελέως
δισκεῖν.

mento ap. Zonaram 948 (*Ἡσίοδος· αἰετὸν μὴ πετῆνα γενέσθαι*) in hunc modum:

Αἰετόν με πετῆνα γενέσθαι,
Αἰνοπαθῆ ἵνα πατρὶδ' ἐπόψομαι.

Fr. 37. Pollux VII 172: *Χήλινον δὲ ἄγγος ἔχον πυθμένας ἐλειοσελίνων ὅταν εἴπῃ Ἀνακρέων τὸ ἐκ σχοινίων πλέγμα δηλοῖ. ἐλειοσελίνων* Hemsterhuys, vulgo *ἀγγελοσελίνων*, et sic vel *ἀγγεοσελίνων* codd. (solus C *ἐλείων*). Scripsi *ἀγρίων σελίνων*, nam *ἀγλαῶν* minus placet: olim *ἀγγειοσελίνων* conieci. Resp. Hesychius: *Κεχήλωμαι . . . καὶ χήλινον τὸ πλεκτὸν ὁ* (l. *ὡς*) *Ἀνακρέων.*

Fr. 38. Hesych. v. *Ἕρμα· ἔρεισμα ἢ ἔργμα ἢ τὸν πετρώδη καὶ ἐπικυματιζόμενον, ὥστε μὴ βλέπειν, τόπον τῆς θαλάσσης. καὶ Ἀνακρέων· ἀσήμων κτλ.* Resp. huc Harpocrat. 86 ed. Bekk. ubi libri *ἑρμάν, ἕρμᾶν, ἑρμίαν*. Phot. 15, 1 (ubi cod. *ἑρμᾶν*), Suidas v. *ἑρμάν*, Zonar. 860 (*ἑρμᾶν*). Item huc refero Hesychii glossam *ἀσήμων· ἀφανῶν, ἀγνώστων.* Perperam Blass hic ionici numeri vestigia deprehendit.

Fr. 39. Athen. XV 674 D: *Ἐκάλουν δὲ καὶ οἷς περιεδέοντο τὸν τράχηλον στεφάνους ὑποθυμιάδας . . . καὶ Ἀνακρέων· πλεκτὰς κτλ.* — V. 1. *ὑποθυμίδας* Dindorf, v. *ὑποθυμιάδας.* — V. 2. *στήθεσι*, A *στήθεσσιν.* Resp. huc Athen. XV p. 678 D. Unde Blass haec ad ionicum numerum revocat.

Fr. 40. Apollon. de Synt. 238: *Καὶ δὴ παρείπετο τῷ χρῶ παραγωγὴ τοῦ χρῆμι, ὡς φημί, ἀφ' οὗ τρίτον πρόσωπον χρῇσιν ὡς φησίν, ἐξ οὗ τὸ χρὴ ἐν ἀποκοπῇ ἀπετελεῖτο, ὁμοίως τῷ παρ' Ἀνακρέοντι· σὲ γάρ* (haec add. in A corr.) *φη* (hoc om. BCDMS) *ταργήλιος ἐμμελέως* (ita Bekker, A *ἐμμελ . ως*, vulgo *ἐμμελῶς*) *δισκεῖν.* Verba *σὲ γάρ φη ταργήλιος* etiam afferunt Apollon. de Adv. in Bekk. An. II 543, 7. Schol. Hom. Il. ε 256. Adde praeterea Cram. An. Ox. IV 411, 23: *Ἀπὸ δὲ τοῦ φημὶ γίνεται φής, φησί, καὶ κατὰ ἀποκοπὴν φῆς . . .* (leg. *φή· σὲ*) *γὰρ φῆ Ταργήλιος ἀντὶ τοῦ φησί· τὸ δὲ Ταργήλιον ὄνομα δαίμονος ἐστί.* et Choerob. II 495. Acuendum esse *φὴ* praeter Apollonium praecepit

41. [39.]

Ὁ Μεγίστης δ' ὁ φιλόφρων δέκα δὴ μῆνες, ἐπεί τε
στεφανοῦταί τε λύγῳ καὶ τρύγα πίνει μελιηδέα.

42. [40.]

Καθαρῇ δ' ἐν κελέβῃ πέντε τε καὶ τρεῖς ἀναχείσθων.

43. [41.]

Πολιοὶ μὲν ἡμὶν ἤδη κρόταφοι κάρη τε λευκόν,
χαρίεσσα δ' οὐκέθ' ἥβη πάρα, γηράλεοι δ' ὀδόντες. 1023

γλυκεροῦ δ' οὐκέτι πολλὸς βιότου χρόνος λέλειπται·
διὰ ταῦτ' ἀνασταλύζω θαμὰ Τάρταρον δεδοικώς.

Herodianus, vid. Ioh. Alex. de acc. 21 *φησί, ὅπερ πάλιν ἀποκοπὲν ὀξύνεται· τὸ γὰρ φή ἀντὶ τοῦ φησί.* Quod olim dixi, posse haec ad glyconeorum numerum revocari:

Σὲ γάρ
φὴ Ταργήλιος ἐμμελέως
δισκεῖν

iam retracto, siquidem breviatae formae solent novissimum versus locum obtinere: Hesiodus tamen medio versu collocavit Op. 529 *δεικνυ* et 777 *νῆ* (ubi nunc *νεὶ* legitur), quae formae si paradosis integra est apocopen ostentant, neque possunt componi cum Aeolicis *γέλαι*, *δίδοι*, *δοκίμοι*, quorum diversa est origo. — Ceterum Hecker *ἐμμενέως*, Cobet *διοσκεῖν* coniecerunt: Hartung, qui *φὴ* dicit nihil aliud quam *ἔφη* esse, *δικεῖν* scripsit.

Fr. 41. Athen. XV 671 E: *Διὰ τί παρὰ τῷ αὐτῷ ποιητῇ (Ἀνακρέοντι) λύγῳ τινὲς στεφανοῦνται; φησὶ γὰρ ἐν τῷ δευτέρῳ τῶν μελῶν· Μεγίσθης κτλ. Ὁ γὰρ τῆς λύγου στέφανος ἄτοπος κτλ.* et eosdem versus repetit ib. p. 673 D. — V. 1. *ὁ Μεγίστης* Gaisford, vulgo *Μεγίσθης*, sed B *Μεγίστης*. — *ἐπεί τε* AB, *ἐπείτ'* B, vulgo *ἐπειδή*. — V. 2. *τε λύγῳ* P, vulgo *τῇ λύγῳ* (B *λόγῳ*). Praeterea priore l. P *στεφανοῦνται*, B *ἐστεφανοῦνται*, et deinde ABP *πίνουσι*. Resp. huc Athen. XV 674 A et Poll. VI 107.

Fr. 42. Athen. X 430 D: *Ὁ δ' Ἀνακρέων ἔτι ζωρότερον, ἐν οἷς φησί· Καθαρῇ κτλ.* — *πέντε τε* Dindorf, vulgo *πέντε*. — *τρεῖς*, A *τρίς*. — *ἀναχείσθων* scripsi, vulgo *ἀναχείσθω*, ac fortasse librorum scriptura non sollicitanda; certe in Doriensium titulis *διδόσθω* alia passim pluralis numeri vice funguntur, vid. Ahrens D. Dor. 296, et Hom. Il. IX 170 *ἐπέσθω* nonnulli pro *ἐπέσθων* legebant (*γράφεται δὲ καὶ χωρὶς τοῦ ν*), item in vetusto titulo Tegeatico, quem Kirchhoff in Annal. Ac. Berol. 1870, 51 seq. non recte Spartae vindicare conatus est, pluralis *ἀνελόσθω* eandem clausulam, quam singularis *ἀνελέσθω* ostentat.

Fr. 43. Stob. Floril. CXVIII 13: *Ἀνακρέοντος.* Miro iudicio Bernhardy Hist. Litt. Graec. II 500 et 503 (p. 614 ed. 2) hoc carmen a *monacho* Anacreonti subditum esse censet. — V. 1. *ἡμὶν* Stephanus, nisi *ἥμιν* malis, vulgo *ἡμῖν*. — *κάρη* A Vind., vulgo *κάρα*. — V. 2. *οὐκέθ'*, *οὐκέτ'* Schneidewin. — V. 4. *ἀνασταλύζω*, Arsen. *ἀνασταλίζω*, Scaliger

Ἄϊδεω γάρ ἐστι δεινὸς μυχός, ἀργαλέη δ' ἐς αὐτόν
κάθοδος· καὶ γὰρ ἑτοῖμον καταβάντι μὴ ἀναβῆναι.

44. [43.]

Ἔραμαι (δέ) τοι συνηβᾶν· χαριτεῦν ἔχεις γὰρ ἦθος.

45. [42.]

Ἐμὲ γὰρ (νέοι) λόγων εἵνεκα παῖδες ἂν φιλοῖεν·
χαρίεντα μὲν γὰρ ᾄδω, χαρίεντα δ' οἶδα λέξαι.

46. [44.]

Ἀστραγάλαι δ' Ἔρωτός εἰσιν μανίαι τε καὶ κύδοιμοι.

ΠΡΟΣ ΣΜΕΡΔΙΗΝ.

47. [45.]

Μεγάλῳ δηὖτέ μ' Ἔρως ἔκοψεν ὥστε χαλκεύς
πελέκει, χειμερίῃ δ' ἔλουσεν ἐν χαράδρῃ.

ἅλαστα λύζω, Hartung ἄρ' ἀσταλύζω. — V. 5. ἀργαλεή, A ἀργαλή. — V. 6. ἑτοῖμον Schneidewin, vulgo ἕτοιμον. Blass haec in dimetros redigit, ut duae sint strophae senorum versiculorum, singuli versus ἀνακλωμένοι praeter versum strophae paenultimum, ex puris ionicis compositum. Eandem normam etiam fr. 64 observatam esse censet.

Fr. 44. Max. Tyr. XXIV 9: *Ἀλλὰ κἂν τούτοις τὴν σωφροσύνην (Ἀνακρέοντος) ὅρα· ἔραμαι τοι συνηβᾶν· χάριεν γὰρ ἔχεις ἦθος*, quae correxi. Cf. Herodian. *περὶ μον. λέξ.* 14, 21: *ὁ μέντοι Ἀνακρέων καὶ χαριτόεις εἶπεν.* — ἦθος, Hartung ἄνθος.

Fr. 45. Max. Tyr. XXIV 9: *Ἡ δὲ τοῦ Τηΐου σοφιστοῦ τέχνη τοῦ αὐτοῦ ἤθους καὶ τρόπου· καὶ γὰρ πάντων ἐρᾷ τῶν καλῶν καὶ ἐπαινεῖ πάντας· μεστὰ δὲ αὐτοῦ τὰ ᾄσματα τῆς Σμέρδιος κόμης καὶ τῶν Κλεοβούλου ὀφθαλμῶν καὶ τῆς Βαθύλλου ὥρας· ἀλλὰ κἂν τούτοις τὴν σωφροσύνην ὅρα· Ἔραμαι κτλ. — καὶ αὖθις καλὸν εἶναι τῷ ἔρωτι τὰ δίκαια φησί. ἤδη δέ που καὶ τὴν τέχνην ἀπεκαλύψατο· Ἐμὲ γὰρ λόγων εἵνεκα κτλ.* — V. 1. νέοι adieci, cum prius λόγων (ἐμῶν) scripsissem, Blass λόγων μελῶν τ'. — V. 2. ᾄδω Valckenaer, vulgo διδῷ. Schneidewin μέν γ' ἀείδω.

Fr. 46. Schol. Il. ψ 88: *Αἱ πλείους τῶν κατ' ἄνδρα ἀμφ' ἀστραγάλῃσιν ἐρύσσας· καὶ ἔστιν Ἰωνικώτερον· Ἀστρ. κτλ. Ἀνακρέων.* scripsi εἰσιν et κύδοιμοι, vulgo εἰσι et κυδοιμοί, Hartung Στραγάλαι novavit.

Fr. 47. Hephaest. 68: *Καὶ τῷ βραχυκαταλήκτῳ δὲ Ἀν. ὅλα ᾄσματα συνέθηκε· Μεγάλῳ (μεγάλων C, μεγάλου P) κτλ.* Affert etiam gramm. Harlei. ap. Gaisf. Heph. p. 322 ed. sec., ubi ἔλισσεν v. 2 legitur. Scripsi δηὖτε et Ἔρως, vulgo δ' ηὖτε et ἔρως. Resp. hoc carmen Athen. XII 540 E et Aelian. Var. Hist. IX 4.

48. [46.] 1024

Ἀπέκειρας δ' ἁπαλῆς κόμης ἄμωμον ἄνθος.

49. [47.]

Θρηϊκίην σίοντα χαίτην.

---

50. [48.]

Ἀπό μοι θανεῖν γένοιτ'· οὐ γὰρ ἂν ἄλλη
λύσις ἐκ πόνων γένοιτ' οὐδαμὰ τῶνδε.

51. [49.]

Ἀγανῶς οἷά τε νεβρὸν νεοθηλέα
γαλαθηνόν, ὅστ' ἐν ὕλης κεροέσσης
ἀπολειφθεὶς ὑπὸ μητρὸς ἐπτοήθη.

Fr. 48. Phavor. ap. Stob. Floril. LXVI 6: *Πρὸς ταῦτα γελοῖος ἂν φανείη ὁ Ἀνακρέων καὶ μικρολόγος, τῷ παιδὶ μεμφόμενος, ὅτι τῆς κόμης ἀπεκείρατο, λέγων ταῦτα· Ἀπ. κτλ.* Malim *ἀπεκείραο*: nam ad Smerdien ipsum, non ad Polycratem culpam retulit poeta, ut Aelian. V. H. IX 4 dicit: *ὁ δὲ οὐ προσεποιήσατο αἰτιᾶσθαι τὸν Πολυκράτην σωφρόνως καὶ ἐγκρατῶς, μετήγαγε δὲ τὸ ἔγκλημα ἐπὶ τὸ μειράκιον, ἐν οἷς ἐπεκάλει τόλμαν αὐτῷ καὶ ἀμαθίαν, ὁπλισαμένῳ κατὰ τῶν ἑαυτοῦ τριχῶν.*

Fr. 49. Etym. M. 714, 38: *Ἔστι γὰρ καὶ σίω διὰ τοῦ ῑ, ᾧ χρῆται Ἀνακρέων, οἷον· Θρηϊκίην κτλ.* scripsi *Θρηκίην*.

Fr. 50. Hephaest. 69: *Τῶν δὲ τριμέτρων τὸ μὲν ἀκατάληκτον . . . παρὰ δὲ τῷ Ἀνακρέοντι ἑτέρως ἐσχημάτισται Ἀπό μοι κτλ.* Eadem Apostol. III 60 b. — V. 2. *οὐδαμὰ*, A *οὐδάμα*.

Fr. 51. Athen. IX 396 D: *Καὶ Ἀνακρέων δέ φησιν· Οἷά τε ν.* Eadem Aelian. Hist. An. VII 39: *Ὅσοι λέγουσι θῆλυν ἔλαφον τὰ κέρατα οὐ φύειν, οὐκ αἰδοῦνται τοὺς τοῦ ἐναντίου μάρτυρας . . . καὶ Ἀνακρέων ἐπὶ θηλείας φησίν· οἷά τε νεβρὸν . . . ἐπτοήθη. Πρὸς δὲ τοὺς μοιχῶντας τὸ λεχθὲν καὶ μέντοι καὶ φάσκοντας δεῖν ἐροέσσης γράφειν, ἀντιλέγει κατα κράτος Ἀριστοφάνης ὁ Βυζάντιος καὶ ἐμέ γ' αἱρεῖ τῇ ἀντιλογίᾳ. ἐροέσσης* enim coni. Zenodotus, vid. Schol. Pind. Ol. III 52: *Τέτακται δὲ καὶ παρὰ Ἀνακρέοντι· Ἀγανῶς οἷά τε κτλ. Ζηνόδοτος δὲ μετεποίησεν ἐροέσσης.* Adde Eust. Il. 711, 34. Respicit etiam Pollux V 76. — V. 1. *ἀγανῶς* solus Schol. servavit. Hartung *νεοθηλέα* delet. Fortasse totus locus sic digerendus:

Ἀγανῶς οἷά τε νεβρὸν
νεοθηλέα γαλαθηνόν, ὅστ' ἐν ὕλης
κεροέσσης ἀπολειφθεὶς ὑπὸ μητρὸς ἐπτοήθη.

V. 2. *ὕλης* scripsi, Schol. *ὕλαις*, *ὕλῃ* rell. — V. 3. *ἀπολειφθεὶς* Athen., *ὑπολειφθεὶς* Ael. (ubi cod. Par. 2 *νεοθήλην . . . ἤτε* vel *οἵτε . . . κροκοέσσης ὑπολειφθεὶσ'*) et Schol. — *ὑπὸ* Schol., *ἀπὸ* ceteri.

52. [50.]

Σινάμωροι πολεμίζουσι Θυρωρῷ.

53. [52.]

Σικελὸν κότταβον ἀγκύλῃ παίζων.

54. [53.]

Ἐπὶ δ' ὀφρύσιν σελίνων στεφανίσκους
θέμενοι θάλειαν ὁρτὴν ἀγάγωμεν
Διονύσῳ.

55. [54.]

Διονύσου σαῦλαι Βασσαρίδες.

*56. [55.]

Οὐδ' αὖ μ' ἐάσεις μεθύοντ' οἴκαδ' ἀπελθεῖν;

57. [56.]

Φίλη γὰρ εἶ ξένοις, ἔασον δέ με διψῶντα πιεῖν.

Fr. 52. Et. M. 713, 26: *Σινάμοροι* (*σινάμωροι* VDM a m. pr.) *π. Θυρωροί* (V *Θῦρροι*) *ἐν δευτέρῳ* (cod. Flor. *ἓν α'*) *Ἀνακρέων. μεμορημένοι, φησί, πρὸς τὸ σίνεσθαι.* — scripsi *Θυρωρῷ*.

Fr. 53. Athen. X 427 D: *Ἐχρῶντο γὰρ ἐπιμελῶς τῷ κοτταβίζειν ὄντος τοῦ παιγνίου Σικελικοῦ, καθάπερ καὶ ὁ Ἀνακρέων ὁ Τήϊος πεποίηκε· Σικελικὸν κότταβον ἀγκύλῃ δαΐζων.* — *Σικελὸν* Grotefend, *παίζων* ego scripsi, *λελίζων* Emperius coni.

Fr. 54. Athen. XV 674 C: *Ἐστεφανοῦντο δὲ καὶ τὸ μέτωπον, ὡς ὁ καλὸς Ἀνακρέων ἔφη· Ἐπὶ κτλ.* Eadem Eust. 1908, 55 omisso v. *Διονύσῳ*. et Schol. Pind. Ol. III 19: *Ἀνακρέων· ἐπὶ δ' ὀφρύσιν σελίνων στέφανον* (cod. *στεφάνων*) *θέμενοι.* — V. 1. *ἐπὶ*, ap. Ath. L Cant. *ἐπεί*. — V. 2. *ὁρτὴν* Hermann, v. *ἑορτήν*.

Fr. 55. Hephaest. 69: *τῶν δὲ τριμέτρων τὸ μὲν ἀκατάληκτον . . . παρὰ δὲ τῷ Ἀνακρέοντι ἑτέρως ἐσχημάτισται . . . τὸ δὲ καταληκτικόν· Διονύσου κτλ.* — E *Διονύσσου σαῦλε*. Fort. *σαῦλαι*.

Fr. 56. Schol. Aeschyl. Prom. 128: *Ὁ ῥυθμὸς Ἀνακρεόντειός ἐστι κεκλασμένος πρὸς τὸ θρηνητικόν· ἐπεδήμησε γὰρ τῇ Ἀττικῇ Κριτίου ἐρῶν, καὶ ἠρέσθη λίαν τοῖς μέλεσι τοῦ τραγικοῦ* (Welcker *μέλεσιν αὐτοῦ ὁ τραγικός*)*· ἐχρῶντο δὲ αὐτοῖς οὐκ ἐν παντὶ τόπῳ, ἀλλ' ἐν τοῖς θρηνητικοῖς, ὡς καὶ Σοφοκλῆς. ἔστι δὲ ταῦθ' ὅμοια τῷ· Οὐδ' αὖ ἐάσεις με κτλ.* Correxit Hermann et probabiliter Anacreonti tribuit versum, qui videtur ex carmine in Critiam petitus esse. Anacreontis carmina in Critiam resp. Plato Charm. 157 E.

Fr. 57. Athen. X 433 F: *Καὶ Ἀνακρέων· φίλη κτλ.* — *εἶ ξένοις* VL, A *εἰς ξείνεις*, P *εἰ ξείνεις*, B *δὲ ξείνεις*, Schneidewin *εἷς ξείνοις*. Meineke ad iambicum numerum revocat . . *Φίλη γὰρ εἷς ξένοις· ἔασον δέ με | Διψῶντ' ὀπνίειν.* qua mutatione non est opus, nam hoc ipsum poeta verecunde verbo *πιεῖν* significavit.

58. [57.]

Ἀπὸ δ' ἐξείλετο θεσμὸν μέγαν * *

59. [58.] 1026

Ἐκδῦσα χιτῶνα δωριάζειν.

60. [59.]

Καί μ' ἐπίβωτον κατὰ γείτονας ποιήσεις.

61. [60.]

Παρὰ δηῦτε Πυθόμανδρον
κατέδυν Ἔρωτα φεύγων.

62. [61.]

Φέρ' ὕδωρ, φέρ' οἶνον, ὦ παῖ,
φέρε δ' ἀνθεμεῦντας ἡμίν
στεφάνους, ἐνεικον, ὡς δή
πρὸς Ἔρωτα πυκταλίζω.

Fr. 58. Apollon. Sophist. 87, 21: *Θέσθαι . . . καὶ γὰρ ὁ θησαυρὸς θεσμὸς λέγεται, καθάπερ καὶ Ἀνακρέων λέγει· ἀπὸ δ' κτλ.* — cod. *θυμὸς* et *θυμὸν*. Resp. Et. M. 448, 15, cf. Mingar Codd. Nan. 495. — *Ἀπὸ δ' ἐξείλετο* Heckero suspectum, sed iniuria: quod vulgo dicit solet *ἐξαφαιρεῖσθαι*, poeta inverso ordine protulit, quemadmodum et apud Eurip. Iph. Taur. 1278: *ἀπὸ δὲ λαθοσύναν νυκτωπὸν ἐξεῖλεν βροτῶν.*

Fr. 59. Schol. Eurip. Hec. 934: *καὶ δωριάζειν τὸ γυμνουμένας φαίνεσθαι τὰς γυναῖκας· Ἀνακρέων· Ἐκδῦσα κτλ.* Cf. Eustath. Il. 975, 30: *Αἴλιος γοῦν Διονύσιος δωριάζειν, φησί, τὸ παραφαίνειν καὶ παραγυμνοῦν πολύ τι τοῦ σώματος. αἱ γὰρ κατὰ Πελοπόννησόν φησι κόραι διημέρευον ἄζωστοι καὶ ἀχίτωνες, ἱμάτιον μόνον ἐπὶ θάτερα ἐπιπεπορπημέναι, κτλ.*

Fr. 60. Ammon. 42 Valck. *Διαβόητος καὶ ἐπιβόητος διαφέρει· διαβόητος μὲν γάρ ἐστιν ὁ ἐπ' ἀρετῇ ἐγνωσμένος· ἐπιβόητος δ' ὁ μοχθηρὰν ἔχων φήμην· Ἀνακρέων ἐν δευτέρῳ· Καί μ' κτλ.* vulgo *ἐπιβόητον* et sic Et. Gud. 142, 45 et 199, 3 (ubi praeterea *γείτονα*), sed Anacreontem dixisse *ἐπίβωτον* testatur Eust. 1856, 12.

Fr. 61. Hephaest. 70: *Τὸ δὲ* (*δίμετρον τὸ* addidit Mehlhorn) *ἀκατάληκτον κατὰ τὸν ἀνακλώμενον χαρακτῆρα πολὺ παρὰ τῷ Ἀνακρέοντί ἐστι· Παρὰ κτλ.* — V. 1. *δηῦτε* scripsi, vulgo *δ' ηὖτε*, A *δηὖτε*. — *Πυθόμανδρον* AFIE *γρ.*, *Πυθομενδρον* CP in marg., *Πυθόμαν δὲ* Turn. El'. — V. 2. *κατέδυν Ἔρωτα* scripsi, legebatur *κατέδυν' ἔρωτα*.

Fr. 62. Athen. XI p. 782 A: *Ἀνακρέων· Φέρ' ὕδωρ κτλ.* — V. 1. affert Demetr. de elocut. c. 5. — V. 2. *ἡμίν*, vulgo *ἡμῖν*. — V. 3 extr. et v. 4 affert Eust. Il. 1322, 53: *Παράγωγον ῥῆμα τὸ πυκταλίζειν, οὗ χρῆσις παρὰ Ἀνακρέοντι, ὡς μὴ πρὸς τὸν Ἔ. π.* et Orion p. 62,

63. [62.]

Ἄγε δή, φέρ' ἡμίν, ὦ παῖ,
κελέβην, ὅκως ἄμυστιν 1027
προπίω, τὰ μὲν δέκ' ἐγχέας
ὕδατος, τὰ πέντε δ' οἴνου
κυάθους, ὡς ἀνυβριστί
ἀνὰ δηὖτε βασσαρήσω.
* * *
Ἄγε δηὖτε μηκέθ' οὕτω
πατάγῳ τε κἀλαλητῷ
Σκυθικὴν πόσιν παρ' οἰνῷ
μελετῶμεν, ἀλλὰ καλοῖς
ὑποπίνοντες ἐν ὕμνοις.

64. [63.]

Χθόνιον δ' ἐμαυτὸν ἦρεν.

65. [64.]

Τὸν Ἔρωτα γὰρ τὸν ἁβρόν

31: *Ἀνακρέων· ὡς δὴ πρὸς ἕρ. πυκ.* ubi recte *δὴ* scriptum, nam etiam Athen. *μή*, Dobree coni. *ἄν*. Resp. Et. M. 345, 39, ubi cod. Flor. Anacreontis verba *ὡς ἤδη κτλ.* addit.

Fr. 63. Athen. X p. 427 A: *Παρὰ δὲ Ἀνακρέοντι εἷς οἶνον πρὸς δύο ὕδατος· Ἄγε κτλ. . . . . βασσαρήσω. Καὶ προελθὼν τὴν ἀκρατοποσίαν Σκυθικὴν καλεῖ πόσιν· Ἄγε δεῦτε κτλ.* Est haud dubie ex eodem carmine, cuius exordium est fr. 62. V. 1—5 *κυάθους* Athen. affert XI 475 C et Eust. Od. 1476, 31. — V. 1. *ἡμίν* Dindorf, vulgo *ἡμῖν*. — V 2. *ὅκως*, Ath. altero l. *ὅπως*. — V. 3. *δέκ'* poster. loco, priore *δ'* vel *δύ'*. — *ἐγχέας*, priore l. APV *ἐκχέας*. — V. 5. *ἀνυβριστὶ* Baxter, A *ἂν ὑβριστίως*, PVL *ἂν ὑβριστιῶσαν*. Apparet *ἀνυβρίστως* supra scriptum fuisse, et hoc ipsum praefert Blass, ut hiatus removeatur. — V. 6. *ἀνὰ δηὖτε* scripsi, AB *ἀναδευτε*, PVL *ἀναδευ*. — V. 7—10 usque ad *μελετῶμεν* affert commentator Cruq. Horat. Carm. I 27, 1: *„Ad convivas sodales suos de hilaritate. Sensus autem sumptus ex Anacreonte libro tertio: Ἄγε δῶτε κτλ.“* quae ipse Cruquius addidit descripta ex editione Lambini, unde etiam illud *δῶτε* repetiit. Porphyrio, qui quidem haud dubie hunc ipsum locum respexit, nihil nisi haec adscripsit: „Ode *προτρεπτικὴ* est haec ad hilaritatem, cuius sensus sumtus est ab Anacreonte *in libro tertio*.“ — V. 8. *δηὖτε* scripsi, A *δηυτε*, B *δήντε*, P *δήτε*, VL *δότε*. — V. 11 in fine versum omissum esse censet Meineke, velut *Κλεῖσωμεν Διόνυσον*.

Fr. 64. Schol. Hesiod. Theog. 767: *Τὸ δὲ χθονίου ἢ τοῦ* (l. *ἤτοι*) *στυγεροῦ, ὡς Ἀνακρέων· χθ. δ' ἐμ. ἦρεν.* — cod. S *ἦγον*, in edit. 1 scripsi *ἦρον*, sed gravius vitium latet, fort. *χθόνιον δὲ μὰψ ὄνειρον*, vel *χθονίων δείματ' ὀνείρων*. Hartung *χθόνιον δ' εἶδον ὄνειρον*.

Fr. 65. Clem. Alex. Strom. VI 745: *Ἀνακρέοντος ποιήσαντος·*

μέλομαι βρύοντα μίτραις
πολυανθέμοις ἀείδειν·
ὅδε γὰρ θεῶν δυναστής,
ὅδε καὶ βροτοὺς δαμάζει.

66. [65.]

Ἀλλὰ πρόπινε
ῥαδινούς, ὦ φίλε, μηρούς.

---

67. [66.]

Ἀδυμελές, χαρίεσσα χελιδοΐ.

68. [67.] 1028

Μνᾶται δηὖτε φαλακρὸς Ἄλεξις.

Ἔρωτα κτλ. *Εὐριπίδης γράφει· Ἔρως γὰρ ἄνδρας οὐ μόνους ἐπέρχεται κτλ.* Affert etiam Arsen. Viol. 110. Iam in ed. pr. in suspicionem vocavi hos versiculos, postea plane seclusi et Anacreonteis subieci; inprimis similitudo quae intercedit inter hos versus et Anacreonteum carmen 53 effecit, ut confidenter Teio poetae abiudicarem, quamquam hoc argumentum anceps esse intellego, nam passim etiam germana Anacreontis carmina exemplo fuerunt imitatoribus. Nunc quamvis dubitanter in suum locum restitui, descripsit enim Clemens haec copiis usus grammaticorum, qui de furtis antiquorum scriptorum commentati erant, qui quidem saepe secus iudicant, sed eosdem scienter dolo malo subditicium carmen Anacreonti tribuisse aegre crediderim, nisi forte Clementem hoc et alia quaedam exempla suo periculo addidisse statuas: hic enim novicio poemate facile decipi poterat, in quem errorem etiam Gellius incidit. Sane inter hos versiculos et novicia Anacreontea ionicis dimetris condita insignis intercedit similitudo, sed tenendum est istos versificatores usos germanis carminibus ad hoc exemplum sua edolavisse, cum priores qui hemiambos composuerunt neque numeris neque sermone Teium poetam aemulati sint. Vocabulum *δυναστής*, quamvis non usitatum nisi apud Atticos, calumniae est expers: neque *μέλομαι ἀείδειν*, quamvis solitarium, in suspicionem vocare ausim. — V. 1. *τὸν* addidit Baxter. — V. 2. *μέλομαι . . ἀείδειν* Hermann, quod recepi, quamquam desidero huius usus antiquum auctorem, Clem. *μέλπομαι . . . ἀείδων*, sed cod. Par. *ἀείδειν*, Arsen. *μέλπομεν . . . ἀείδει*. Sylburg *μέλπω . . . ἀείδων* scripsit. — V. 4 et 5. *ὅδε*, Clem. *ὁ δὲ*. — *δυναστής*, Blass *ὁ δυναστής*.

Fr. 66. Schol. Pind. Ol. VII 5: *Προπίνειν ἐστὶ κυρίως τὸ ἅμα τῷ κράματι τὸ ἀγγεῖον χαρίζεσθαι. Ἀνακρέων· Ἀλλὰ κτλ. ἀντὶ τοῦ χαρίζου.*

Fr. 67. Hephaest. 39: *Ὕστερον δὲ καὶ Ἀνακρέων τούτῳ τῷ μέτρῳ καὶ ὅλα* (ita Turn. E, *ἄλλα* CPA) *ἄσματα συνέθηκεν. Ἀδυμελὲς* (A *ἀδύμελες*) *κτλ.* Eadem Plotius 264 ed. Gaisf.

Fr. 68. Hephaest. 39: *Ὕστερον δὲ καὶ Ἀνακρέων τούτῳ τῷ μέτρῳ ὅλα ἄσματα συνέθηκεν . . . καὶ Μνᾶται κτλ.* — *δηὖτε* scripsi, vulgo *δηῦτε*, Turn. *δεῦτε*, Fl *δ' ἠύτε*.

69. [73.]

Καλλίκομοι κοῦραι Διὸς ὠρχήσαντ' ἐλαφρῶς.

70. [74.]

Ὀρσόλοπος μὲν Ἄρης φιλέει μεναίχμαν.

71. [75.]

Οὔτε γὰρ ἡμετέρειον οὔτε καλόν.

72. [76.]

Νῦν δ' ἀπὸ μὲν στέφανος πόλεος ὄλωλεν.

*72B.

Ἀστερίς, οὔτε σ' ἐγὼ φιλέω οὔτ' Ἀπελλέης.

73. [77.]

Βούλεται ἀπεροπός (τις) ἡμὶν εἶναι.

Fr. 69. Athen. I 21 A: *Ἔταττον γὰρ τὸ ὀρχεῖσθαι ἐπὶ τοῦ κινεῖσθαι καὶ ἐρεθίζεσθαι. Ἀνακρέων· Καλλίκομοι κτλ.* Eadem Eust. 1842, 4. Sed offendit spondeus loco dactyli in versu logaoedico, fort. *ὀρχησαίατ'* legendum, ut sit herous.

Fr. 70. Hephaest. 90: *Κέχρηται δὲ (τῷ ἐγκωμιολογικῷ) καὶ Ἀνακρέων ἐν πλείοσιν ἄσμασιν. Ὀρσόλοπος κτλ.* — *Ὀρσόλοπος* CP et Etym. cod. Dorvill., sed FiSH *ὀρσόλεπος*, E *ὄρσ' ὃ λέπος*, B *ὀρσόλεπτος*, Turn. *ορσ' ὀλέπος.* — *φιλέει, φιλέειν* FIHBS. — *μεναίχμαν*, Pauwius *μεναιχμήν*, codd. et. edd. *μὲν αἰχμάν.*

Fr. 71. Etym. M. 429, 50: *Ἡμετέρειος κτητικόν ἐστι· σημαίνει δὲ τὸν τοῦ ἡμετέρου· ἐχρῆτο δὲ τῇ λέξει Ἀνακρέων· Οὔτε κτλ.* Eadem Zonar. 990, cf. etiam Mingar. Codd. Nan. 495.

Fr. 72. Schol. Pind. Ol. VIII 42: *Στέφανοι γὰρ ὥσπερ τῶν πόλεων τὰ τείχη· καὶ Ἀνακρέων· νῦν δ' κτλ.* — *στέφανος πόλεος* (sive *πόλευς* malis) scripsi, legebatur *πόλεως στέφανος.* Schneidewin *πόλιος* requirit.

Fr. 72 B. Schol. Heph. p. 163 ed. 2 Gaisf.: *ὁ δ' Ἡλιόδωρος φησὶν ἐν τῇ εἰσαγωγῇ, ὅτι καὶ τρεῖς εἰς μίαν συνεκφωνοῦνται συλλαβαί, ὡς τὸ διπενθημιμερὲς τοῦτο, οἱονεὶ τὸ δοκοῦν εἶναι ἐλεγεῖον· Ἀστερὶς οὔτε σ' ἐγὼ φιλέω, οὔτ' ἀπελλῆς. οὐ γάρ ἐστιν ἐλεγεῖον, ἀλλὰ τὸ πρῶτον αὐτοῦ μέρος ἐστὶ δακτυλικόν, τὸ δὲ δεύτερον ἰαμβικόν, δύο γὰρ ἰάμβους ἔχει καὶ συλλαβήν· τὸ οὖν φιλέω οὐ, ἀπὸ δύο βραχέων (βραχειῶν) καὶ μιᾶς μακρᾶς.* — *Ἀπελλέης* nunc quam *Ἀπελλῆς* scribere malui. Cum versus manifesto Ionici sit poetae et Hephaestio p. 70 auctor sit, praeter Alcaeum Anacreontem in compluribus carminibus hoc metro usum esse, huic poetae versum tribui.

Fr. 73. Etym. M. 433, 44: *ἠπεροπευτής. . . . ἢ μετὰ τοῦ ᾱ τοῦ σημαίνοντος τὸ κακὸν καὶ τοῦ περ περιττοῦ συνδέσμου, ἀπεροπεύς, ὁ τῷ λόγῳ κακῶς χρώμενος καὶ ἀπατῶν· οἷον Ἄτε μὲν καὶ ἐπίκλοπον ἀπε-*

74. [78.] 1029

. . . . . *Ἐγὼ δὲ μισέω*
πάντας, ὅσοι χθονίους ἔχουσι ῥυσμούς
καὶ χαλεπούς· μεμάθηκά σ', ὦ Μεγίστη,
τῶν ἀβακιζομένων.

---

75. [79.]

Πῶλε Θρηκίη, τί δή με λοξὸν ὄμμασιν βλέπουσα
νηλεῶς φεύγεις, δοκέεις δέ μ' οὐδὲν εἰδέναι σοφόν;

ἴσθι τοι, καλῶς μὲν ἄν τοι τὸν χαλινὸν ἐμβάλοιμι,
ἡνίας δ' ἔχων στρέφοιμί σ' ἀμφὶ τέρματα δρόμου.

ροπέα (i. e. *ἠπεροπῆά τ' ἔμεν καὶ ἐπίκλοπον* Hom. Od. XI 364). *καὶ παρὰ Ἀνακρέοντι· Βούλεται ἀπεροπὸς ἡμῖν εἶναι. καὶ θηλυκὸν ἀπεροπή. ἢ ἄοπος, οὐδὲ προσλαλῆσαι ἡμῖν θέλων· ἢ ὁ ἀπρόσβλεπτος καὶ οὐδ' εἰς ὄψιν ἐλθεῖν θέλων.* In Anacreontis versiculo scripsi *ἀπερροπός (τις) ἡμῖν*, quemadmodum legitur fr. 87 *κνίζη τις*, cum antea *ἀπεροπεύς* vel *ἠπεροπεὺς ἐφ' ἡμῖν*. Sed haud scio, an errore grammaticus, qui undique delibavit ea, quae ad illustrandum vocabulum *ἠπεροπεύς* vel *ἠπεροπευτής* facere opinabatur, temere hoc Anacreontis exemplum adhibuerit: nam huius poetae videtur hendecasyllabus ita restituendus

Βούλεται δ' ἀπέρωπος ἡμὶν εἶναι.

Ex commentario in Anacreontem descriptae sunt quae subiiciuntur explicationes: grammaticus ille ambigebat, utrum ad vocem an ad visum hoc verbum referendum esset. Cf. Phrynichus Bekk. An. I 8: *ἀπέρωπος· σημαίνει ἀναιδής, σκληρός, τραχύς, οἷον ἀπερίοπτος καὶ ἀπερίβλεπτος, ὃν οὐκ ἄν τις περιωπήσαιτο διὰ τὴν ἀηδίαν· καὶ ἀπέρωπον οἷον τραχὺ καὶ ἀνατεταμένον.*

Fr. 74. Etym. M. 2, 45: *Παρὰ τὸ ἀβακὴς οὖν γίνεται ἀβακῶ, ὥσπερ εὐσεβὴς εὐσεβῶ. γίνεται δὲ καὶ ἀβακίζω· φησὶν Ἀνακρέων· Ἐγὼ κτλ. ἀντὶ τοῦ τῶν ἡσυχίων καὶ μὴ θορυβωδῶν.* Eadem Philemo 135 et Cram. An. Par. IV 84, 28. — V. 1. *ἐγώ*, Cram. *ἔγω*. — *δὲ* om. cod. Va. — V. 2. *ὅσοι* scripsi, vulgo *οἵ*, et *ῥυσμούς*, vulgo *ῥυθμούς*, Cram. *ῥυμούς*. — *χθονίους*, Iacobs *σκολιούς*, Hartung *χυοῦνας* novavit. — V. 3. *χαλεπούς· μεμάθηκά σ', ὦ Μεγίστη* scripsi (in edit. 1 *μεμάθεικα δ' ὦ Μεγίστη*, et *Μεγίστη* etiam Hemsterhuys), vulgo *χαλεποὺς μεμαθήκασιν* (*μεμαθηε* D), *ὡς μεγίστη*.

Fr. 75. Heraclid. Pont. Alleg. Hom. c. 4: *Καὶ μὴν ὁ Τήϊος Ἀνακρέων ἑταιρικὸν φρόνημα καὶ σοβαρᾶς γυναικὸς ὑπερηφανίαν ὀνειδίζων, τὸν ἐν αὐτῇ σκιρτῶντα νοῦν ὡς ἵππον ἠλληγόρησεν, οὕτω λέγων· Πῶλε κτλ.* — V. 1. *Θρηκίη* Barnes, vulgo *Θρηϊκίη*. — V. 2. *μ' οὐδὲν* codd., ut videtur omnes, olim legebatur *μηδέν*. — V. 4. *στρέφοιμί σ'* scripsi, vulgo *στρέφοιμι*, AB *στρέφοιμ'*, nisi malis *στρέφοιμ' ἄν*, Mehler

νῦν δὲ λειμῶνάς τε βόσκεαι κοῦφά τε σκιρτῶσα παίζεις· δεξιὸν γὰρ ἱπποσείρην οὐκ ἔχεις ἐπεμβάτην.

76. [80.]

Κλῦθί μευ γέροντος εὐέθειρα χρυσόπεπλε κούρα.

77. [81.]

Εὖτέ μοι λευκαὶ μελαίναις ἀναμεμίξονται τρίχες.

78. [82.]

(Ἐν) μελαμφύλλῳ δάφνᾳ χλωρᾷ τ' ἐλαίᾳ τανταλίζει.

79. [83.]

Κοίμισον δ', ὦ Ζεῦ, σόλοικον φθόγγον.

80. [98.]

Διὰ δέρην ἔκοψε μέσσην, καδ δὲ λῶπος ἐσχίσθη.

στρέφοιμ' ἄν σ'. — V. 5. σκιρτῶσα, A σκιρτοῖσα. — V. 6. ἱπποσείρην scripsi, vulgo ἱπποπείρην. — οὐκ ἔχεις, AB οὐχ ἕξεις, Hartung δεξιὸν πρὸς ἱπποσείρην οὐκ ἔχουσ' ἐπ.

Fr. 76. Hephaest. 36: *Καὶ τῶν ἀκαταλήκτων δὲ τὸ τετράμετρον ἔνδοξόν ἐστιν, οἷον τουτὶ τοῦ Ἀνακρέοντος· Κλῦθί κτλ.* — εὐέθειρα, antea praetuli εὐέθειρε, quod legitur apud Schol. Heph. 175, qui bis hunc versum affert, cod. Nan. (Mingar. 489) εὐήθειρα. — κούρα, nisi forte κοῦρα scribendum, ut est ap. Theocritum (vel potius Moschum) XXVII 55 *θάρσει κοῦρα φίλα.*

Fr. 77. Iulian. Misopog. 366 B: *Πλησίον ἐσμέν, ἐθελόντων θεῶν, εὖτέ μοι κτλ. ὁ Τήϊος ἔφη ποιητής·* — μοι, scrib. videtur σοί. — μελαίναις, Schneidewin μελαίνῃς.

Fr. 78. Schol. Soph. Antig. 138: *Ὅτι δὲ τανταλωθεὶς σημαίνει τὸ διασεισθείς, μαρτυρεῖ καὶ Ἀνακρέων· μελαμφύλλῳ κτλ.* Addidi ἐν. Fort. τανταλίζῃ (τανταλίζεαι), ut Amorem poeta alloquatur; cod. A τανταλίζοι.

Fr. 79. Herodian. de barbar. 193 post Ammon. Valcken.: *Σολοίκους δὲ ἔλεγον οἱ παλαιοὶ τοὺς βαρβάρους· ὁ γὰρ Ἀνακρέων φησί· Κοίμισον* (sic B, κοίμησον A, κόμισον C) *δὲ σόλοικον φθόγγον.* Sed codd. ap. Villois. Anecd. II 77 μισῶ Ζεῦ vel κόμισον Ζεῦ σόλ. λόγον. itaque emendavi. Resp. huc Eust. Il. 368, 2.

Fr. 80. Schol. Il. ρ 542: *Κατὰ ταῦρον ἐδηδώς. ἡ διακοπὴ τῆς λέξεως τὸν εἰς πολλὰ διεσπασμένον παρέστησε ταῦρον, οὐ τοῦ μέτρου ἀπαιτοῦντος· παρῆν γὰρ φάναι ταῦρον κατεδηδώς· καὶ Ἀνακρέων· Διὰ δέρην κόψε μέσην κἀδ κτλ.* quae correxi. Cf. Eust. Il. 1001, 39: *Ἀνακρέοντος τὸ καδ δὲ λοπὸς ἐσχίσθη· ὁμοίως καὶ τὸ διὰ δὲ δέρην ἔκοψε μέσην.* et Cram. An. Paris. III 287, 28. Hermann hoc Eustathii loco usus duo diversa fragmenta esse credit, quod non debebat Haupt probare. Idem olim proposuit Schneidewin, quem iam in diariis Antiquitatis 1836 redargui.

81.

Αἱ δέ μευ φρένες
ἐκκεκωφέαται.

82. [94.]

Ἐγὼ δ' ἔχων σκύπφον Ἐρξίωνι
τῷ Λευκολόφου μεστὸν ἐξέπινον.

83. [95.] 1031

Στεφάνους δ' ἀνὴρ τρεῖς ἕκαστος εἶχεν,
τοὺς μὲν ῥοδίνους, τὸν δὲ Ναυκρατίτην.

*84. [85.]

Ἔστε ξένοισι μειλίχοις ἐοικότες,
στέγης τε μοῦνον καὶ πυρὸς κεχρημένοις.

Fr. 81. Cram. An. Ox. I 288, 3: *καὶ Ἀνακρέων· Αἱ δέ μευ κτλ.* Et. M. 322, 22 omisso nom. poetae: *Αἱ δ' ἐμαὶ φρ. ἐκ.*

Fr. 82. Athen. XI p. 498 C: *Ἡσίοδος δ' ἐν τῷ δευτέρῳ Μελαμποδίας σὺν τῷ π σκύπφον λέγει· . . . ὁμοίως εἴρηκε καὶ Ἀνακρέων· Ἐγὼ κτλ. ἀντὶ τοῦ προέπινον.* Cf. Eust. Il. 900, 16. — V. 2. *τῷ Λευκολόφου* scripsi, vulgo *τῷ λευκολόφῳ*, quod fortasse revocandum: nam etiam fr. 83, 2 eodem loco anapaestus *ῥοδίνους* deprehenditur, et talem figuram versus Anacreontei videtur schol. metr. Pindari Nem. VII testari, qui Pindaricum versum *Ἀναπνέομεν δ' οὐχ ἅπαντες ἐπὶ ἴσα* nuncupat *Ἀνακρεόντειον ἐκ δευτέρου πενθημιμεροῦς καὶ ἰαμβικῆς συλλαβῆς καταληκτικόν*, ubi corrigendum *ἐκ διπλοῦ πενθημιμεροῦς ἰαμβικοῦ καὶ συλλαβῆς ἀκατάληκτον*. Offendit sane anapaestus in appellativo vocabulo admissus, sed si quis hos versiculos ex anapaestico et trochaico colo conglutinatos esse arbitretur, maiore etiam difficultate constrictus tenetur, tunc enim fr. 82, 1 et 83, 1 corrigendi necessitas imposita.

Fr. 83. Athen. XV 671 E: *Τίς ἐστιν ὁ παρὰ τῷ χαρίεντι Ἀνακρέοντι Ναυκρατίτης στέφανος, ὦ Οὐλπιανέ; φησὶ γὰρ οὕτως ὁ μελιχρὸς ποιητής· Στεφάνους ὁ δ' ἀνὴρ κτλ.* — V. 1. *στεφάνους δ' ἀνήρ* VL, *στεφάνους ὁ δ' ἀνὴρ* B, sed A *στεφάνου· ὁ δ' ἀνὴρ*, Hartung *στεφάνους δ' ἄρ' ἀνήρ*. Cf. Poll. VI 107: *Ἀνακρέων δὲ καὶ μύροις στεφανοῦσθαί φησι . . . καὶ Ναυκρατίτῃ στεφάνῳ, σάμψυχος οὗτος ἦν . . . ὁ δὲ Ἀνακρέων καὶ ῥόδινον στέφανον ὠνόμασεν.*

Fr. 84. Plut. adv. Stoic. c. 20: *Διψῶντες οὖν ὕδατος οὐκ ἔχουσι χρείαν οὐδὲ ἄρτου πεινῶντες· Ἔσται ξ. κτλ. οὕτος οὐκ εἶχε χρείαν ὑποδοχῆς.* Anacreontis esse indicat Hephaest. 29: *Δίμετρα, οἷα τὰ Ἀνακρεόντεια ὅλα ἄσματα γέγραπται, οἷον . . . τρίμετρα δέ, ὡς τό· ἔστε ξένοισι μειλίχοις* (FIBH *ξένοι εἰ λίχοις*) *ἐοικότες.* — V. 1. *ἔστε* Heph. vulgo, sed FIBCHPESA *ἔσται*, ut Plut. (Wyttenb. om.). — V. 2. *τε* add. Gaisford. — *κεχρημένοις*, Dübner *κεχρημένῳ*, recte ut videtur. Ad Phormionem et Dioscuros refert Gaisford, de qua fabula vid. Meineke Poet. Com. II 2, 1227.

85. [86.]

Πάλαι ποτ' ἦσαν ἄλκιμοι Μιλήσιοι.

86. [84.]

Καὶ θάλαμος, ἐν τῷ κεῖνος οὐκ ἔγημεν, ἀλλ' ἐγήματο.

87. [87.] 1032

Κνίζη τις ἤδη καὶ πέπειρα γίνομαι
σὴν διὰ μαργοσύνην.

88. [88.]

Κοὐ μοκλὸν ἐν θύρῃσι διξῆσιν βαλών
ἥσυχος καθεύδει.

Fr. 85. Zenob. V 80: *Πάλαι ποτ' ἦσαν ἄ. Μ. Φασὶ τοὺς Κᾶρας πολεμουμένους ὑπὸ Δαρείου τοῦ Πέρσου κατά τινα παλαιὰν μαντείαν εἰρημένην αὐτοῖς τοὺς ἀλκιμωτάτους προσθέσθαι συμμάχους ἐλθεῖν εἰς Βραγχίδας καὶ τὸν ἐκεῖ θεὸν ἐρωτῆσαι, εἰ Μιλησίους πρόσθοιντο συμμάχους· τὸν δὲ ἀποκρίνασθαι· Πάλαι ποτ' ἦσαν ἄ. Μ. οὗτος δὲ ὁ στίχος εἴρηται τὸ πρότερον παρὰ Ἀνακρέοντι.* ubi vid. interprett. Cf. inprimis Sch. Ar. Plut. 1002: *Ἰσχυροί ποτ' ἦσαν οἱ Μ., ὡς καὶ Ἀνακρέων.* ibique versus non sine varietate affertur, primum *ἦσαν ποτ' ἦσαν ἄ. Μ.* (sic etiam Philostr. vit. Soph. I 22), tum *πάλαι ποτ' ἦσαν ἄ. Μ.* atque hanc scripturam non solum Diodor. Exc. Vatic. c. 47 et Synesius p. 228 C exhibent, sed etiam Athenaeus XII 523 F Aristotele auctore usus: *ὡς δ' ὑπῆχθησαν ἡδονῇ καὶ τρυφῇ, κατερρύη τὸ τῆς πόλεως ἀνδρεῖον, φησὶν Ἀριστοτέλης, καὶ παροιμία τις ἐγεννήθη ἐπ' αὐτῶν· πάλαι π. ἦ ἄ. Μ.* quae haud dubie ex libro de Milesiorum republica descripta sunt, ut, qui huius operis reliquias collegerunt, existimant; nam liber *περὶ παροιμιῶν* videtur pseudepigraphus fuisse, ex aliis Aristotelis libris concinnatus. Anacreontis si revera est hic versus, *ποκ'* scribendum. Quae de oraculi dictione feruntur, commenticia censet G. Wolff Porphyr. p. 74 seq.

Fr. 86. Ammon. p. 37 ed. Valck.: *Ἀνακρέων διασύρων τινὰ ἐπὶ θηλύτητι· Καὶ κτλ.* Eadem Herodian. in Boisson. An. III 263. Bachmann An. II 375. Cod. Vindob. n. 205. Etym. Gud. 125, 4 (corruptissime) et Eust. 1678, 59. — *θάλαμος, θάλαμον* Eust., *θαλάμοις* Ammon. — *τῷ* scripsi praeeunte Elmsleio, vulgo *ᾧ*.

Fr. 87. Etym. M. 523, 4: *τὸ δὲ κνύζα, ὡς λέγει Ἡρωδιανός, εἰ μὲν ἐπὶ τοῦ φυτοῦ, συγκοπή ἐστι . . . εἰ δὲ ἐπὶ τοῦ παρεφθαρμένου καὶ ἐρυπωμένου, οὐ συγκοπή ἐστιν, ἀλλ' ἀπὸ τοῦ κνύω· ἀφ' οὗ κνύος ἡ φθορά· γίνεται κνύζα, ὡς παρὰ Ἀνακρέοντι ἐν ἰάμβῳ· Κνύζη* (sic DV Flor., vulgo *κνίζη*, Lobeck *κνιζὴ*) *τ. ἦ. κ. πέπειρα γενομένη* (D *γεγνομή*, Flor. *γίνομαι*) *σ. δ. μ.* Eust. Od. 1746, 13: *Ἡ κνίζα, ὡς σχίζω σχίζα, Ἀνακρέων· Κνίζη τι ἦ. κ. π. γίνομαι σ. δ. μ.* De forma *πέπειρα* vid. Herodian. *περὶ διχρόν.* 358.

Fr. 88. Zonar. 1512: *Τὸν δὲ μοχλὸν ἐν τῷ χ καὶ Ἀττικοὶ καὶ Δωριεῖς καὶ Ἴωνες, πλὴν Ἀνακρέοντος· οὗτος δὲ μόνος σχεδὸν τῷ κ. Ζηνόδοτος δὲ* (μοχλόν)*· Καὶ οὐ μοκλὸν ἐν οὔρῃσι δίζῃσι β. ἦ. κ.* quae correxi.

89. [89.]

Ἐρῶ τε δηὖτε οὐκ ἐρῶ
καὶ μαίνομαι κοὐ μαίνομαι.

90. [90.]

Μηδ' ὥστε κῦμα πόντιον
λάλαζε, τῇ πολυκρότῃ
σὺν Γαστροδώρῃ καταχύδην
πίνουσα τὴν ἐπίστιον.

91. [91.]

Διὰ δηὖτε Καρικευργέος·
ὀχάνοιο χεῖρα τιθέμεναι. 1033

*92. [92.]

Ὁ μὲν θέλων μάχεσθαι,
πάρεστι γάρ, μαχέσθω.

93. [93.]

Ὦ 'ραννὲ δὴ λίην,
πολλοῖσι γὰρ μέλεις.

Fr. 89. Hephaest. 29: *Ἔστι δὲ ἐπίσημα ἐν αὐτῷ ἀκατάληκτα μὲν δίμετρα, οἷα τὰ Ἀνακρεόντεια ὅλα ᾄσματα γέγραπται, οἷον· ἐρῶ τε κτλ.* cf. Schol. Heph. 167. Apostol. VII 88 b. — V. 1 scripsi *δηὖτε*, v. *δῆτα*, CPE *δ' ηὖτε*, A *δηὖτε*. — V. 2 affert Schol. Arist. Plut. 253. Ceterum Schneidewin bis *ἐρέω*.

Fr. 90. Athen. X 446 F: *Ἡ παρ' Ἀνακρέοντι καλουμένη ἐπίστιος· φησὶ γὰρ ὁ μελοποιός· Μηδ' κτλ. Τοῦτο δ' ἡμεῖς ἀνίσωμα φαμέν.* — V. 2. *πολυκρότῃ* L, *πολυκρώτῃ* PV.

Fr. 91. Strabo XIV 661: *Τοῦ δὲ περὶ τὰ στρατιωτικὰ ζήλου τά τε ὄχανα ποιοῦνται τεκμήρια καὶ τὰ ἐπίσημα καὶ τοὺς λόφους· Ἀνακρέων μέν γε φησίν· Δία δεῦτε Καριοεργέος* (ita E, *καρικὰ ὁ ἔργεος* CF, *καρικὰ ὀεγέος* Dhi, *Καρικὰ εὐεργέος* w, *καρικοῦ εὐεργέος* ux, *Καρικὸν εὐεργέος* moz) *ὀχάνου χεῖρα τιθέμεναι* (*τιθέμενοι* DEi, *τιθέναι* F). — V. 1. *διὰ δηὖτε* scripsi, deinde *Καρικευργέος ὀχάνοιο* et Eustath. 367, 25: *Καρικοεργέος ὀχάνου*. 707, 61: *Καριοεργέος ὀχάνοιο*. Cf. Et. Gud. 297, 43: *καριοεργέος ὀχώνοιο*. Schol. Il. Θ 193 ubi *καριεργέος* et *καριοεργέος*. Et. M. 489, 39 ubi c. Flor. addit *καριοεργ. ὀχ.* — V. 2. *τιθέμεναι*, Goettling *τιθέμενοι* praefert, sed tunc *χεῖρας* exspectaveris.

Fr. 92. Hephaest. 30: *Καταληκτικὰ δέ, δίμετρα μέν, ὡς τὸ καλούμενον Ἀνακρεόντειον, οἷον· ὁ μὲν θέλων κτλ.* Eadem Plotius 270. Schol. Arist. Plut. 302 (*ὡς ἐκεῖνα τοῦ Ἀνακρέοντος*) et v. 1 Schol. Hephaest. p. 167. Si quidem est Anacreontis fragmentum. Usus est his auctor carm. Pseudoanacr. 45, v. 8 et 9.

Fr. 93. Prisc. de metr. Terent. 249 Lind.: „Anacreon teste Helio-

ΕΛΕΓΕΙΑ.

94. [69.]

Οὐ φιλέω, ὃς κρητῆρι παρὰ πλέῳ οἰνοποτάζων
νείκεα καὶ πόλεμον δακρυόεντα λέγει,
ἀλλ' ὅστις Μουσέων τε καὶ ἁγλαὰ δῶρ' Ἀφροδίτης
συμμίσγων ἐρατῆς μνήσκεται εὐφροσύνης.

95. [68.]

Οὐδέ τί τοι πρὸς θυμόν, ὅμως γε μένω σ' ἀδοιάστως.

96. [71.]

Οὐκέτι Θρηϊκίης (πώλου) ἐπιστρέφομαι.

97. [72.] 1034

Οἰνοπότης δὲ πεποίημαι.

98.

* * *Δεῖ φροντίδα μὴ κατέχειν.*

99. [70.]

Ἄγχοῦ δ' Αἰγείδεω Θησέος ἐστὶ λύρη.

---

doro: *ὁρᾶν, ἀεὶ μὴν* (*ΛΙΕΝ* A, *ΑΙ . ΗΝ* R) *πολλοῖσι γὰρ μέλεις.* Hic iambus merum spondeum habet.“ Correxi, quamquam possunt etiam alia coniici, velut *Ὥραῖε δ' εἶ λίην*, Hartung *ἐρᾶν ἀεὶ παρὴν.*

Fr. 94. Athen. XI 463 A: *Καὶ ὁ χαρίεις δ' Ἀνακρέων φησίν· Οὐ φ. κτλ.* — V. 1. *οὐ φιλέω* ὃς C, *οὐ φίλεος* AB, *οὐ φίλος* ὅς PVL. — *κρητῆρι* ABC, *κρατῆρι* PVL. — V. 4. *μνήσκεται*, Fr. Franke *μνήσεται* coniecit, ego olim *μήσεται.*

Fr. 95. Hephaest. 11: *Καὶ παρὰ Ἀνακρέοντι ἐν ἐλεγείαις· οὐδὲ κτλ.* — *τοι*, in edit. 1 *σοὶ* scripsi. — *μένω σ'* scripsi, libri *μὲν ὡς.* — *ἀδοιάστως*, FlB *ἀδιάστως.* Hartung *οὐδέ τί οἱ . . . ὅμως ἔμεν' ὡς ἀδ.* edidit.

Fr. 96. Longin. de Sublim. c. 31: *Ποιητικώτατον καὶ γόνιμον τόδ' Ἀνακρέοντος· Οὐκέτι Θρηϊκίης ἐπιστρ.* Addidi *πώλου*, in ed. 1 *παιδός.*

Fr. 97. Athen. XI 460 D: *Ὁ δὲ Ἀνακρέων ἔφη· Οἶν. κτλ.* Resp. Pollux VI 21: *Καὶ οἰνοπότης καὶ οἰνοπότις γυνή, ὡς Ἀνακρέων.* nam utrumque ex Anacreonte petitum arbitror.

Fr. 23. Dionys. Hal. de compos. verb. c. 25: *Παρὰ Βακχυλίδῃ· Οὐχ κτλ.* Ex hyporchemate esse docet Gramm. Keil Anal. Gramm. 7, 21: *Φιλεῖ δὲ τὰ ὑπορχήματα τούτῳ τῷ ποδὶ καταμετρεῖσθαι, οἷον οὐχ ἕδρας ἕργον οὐδ' ἀμβολᾶς.* atque hoc carminis exordio utitur etiam Athen. XIV 631 C. Aelian. Hist. Anim. VI 1. Lucian. Scyth. c. 11 (*οὐχ ἕδρας τοίνυν οὐδ' ἀμβολᾶς ἔργον, ὡς ὁ Κεῖος φησιν*). adde Achill. Tat. V 12. — *Ἰτωνίας*, huc respicit Lactant. ad Stat. Theb. VII 330: „In qua Itonus regnavit, Herculis filius: haec civitas Boeotiae est. Hinc Bachilides Minervam *Ithoniam* dixit (cod. Fris. *Bacilides inuervam ethoniam*) et *Alalcomenen* (sic Mitscherlich, vulgo *Alcomenem*, cod. Mon. *Alchomenem*, Fris. *Alchomenen*) significavit (sic Mon. Fris., vulgo *significat*). *Hic Bacilides graecus poeta est* (haec recte addunt Mon. Fris., vulgo inepte: *significat quem im.*) quem imitatus est Horatius in illa oda, in qua Proteus Troiae futurum narrat excidium." et ad II 721: „Bachilides Minervam Ithoniam dicit ab Ithone: ergo Minervam ab oppido cognominavit, quod est in Macedonia, ubi eius antiqua est aedes vicina Boeotiae." ubi codd. *baccilidis . . . dicit, Ithone* (Fris. — *nem*) *ergo Minervam ab oppido.*

. . Εἴτε τὴν ἀπ' ἀγκύλης ἴησι
τοῖσδε τοῖς νεανίαις
λευκὸν ἀντείνασα πῆχυν.

*25. [24.]

⏑ – ⏑ – ⏑ ⏑ – ⏑ ⏑ – – ⏑ –

Ἦ καλὸς Θεόκριτος· οὐ μόνος ἀνθρώπων ἐρᾷς.

*26. [25.] 1235

⏑ – ⏑ – ⏑ – –
⏑ ⏑ – ⏑ – ⏑ – – –

Σὺ δ' ἐν χιτῶνι μούνῳ
παρὰ τὴν φίλην γυναῖκα φεύγεις.

ΠΑΡΟΙΝΙΑ.

*27. [26.]

– – ⏑ ⏑ – ⏑ ⏑ – ⏑ – ⏑ – –
– ⏑ ⏑ – ⏑ ⏑ – – ⏑ – ⏑
– ⏑ ⏑ – ⏑ ⏑ – ⏑ – ⏑ – ⏑
– ⏑ – – ⏑ – – ⏑ ⏑

Γλυκεῖ' ἀνάγκα *Στρ. α'.*

Fr. 24. Athen. XI 782 E: *Ἀγκύλη· Καὶ Βακχυλίδης· εἴτε κτλ.* et XV 667 C: *Βακχ. ἐν Ἐρωτικοῖς· εἴτε κτλ.* — V. 1. Initium affert Eust. Il. 344, 26: *χρῆσις δὲ καὶ κοτύλης* (?) *παρά τε Βακχυλίδῃ ἐν τῷ εἴτε τὴν ἀπ' ἀγκύλης πίνουσι* (quod errore ex Cratini versu ap. Ath. ortum). — V. 2. *τοῖσδε τοῖς* A altero loco, *τοῖς δὲ τοῖσι* PVL, priore loco omnes nihil nisi *τοῖς*. — *νεανίαις*, Meineke *νεανίαισι* praeoptat. — V. 3. *ἀντείνασα* Ath. posteriore l., *ἐντείνουσα* priore.

Fr. 25. 26. Hephaest. 130: *Ἔστι δέ τινα καὶ τὰ καλούμενα ἐπιφθεγματικά, ἃ διαφέρει ταύτῃ τῶν ἐφυμνίων, ὅτι τὰ μὲν ἐφύμνια καὶ πρὸς νοῦν συντελεῖ, τὰ δὲ ἐπιφθεγματικὰ καὶ ἐκ περιττοῦ, ὡς πρὸς τὸ λεγόμενον, τῇ στροφῇ πρόσκειται* (suo iure Westphal transponit in hunc modum: *ὅτι τὰ μὲν ἐφύμνια ἐκ περιττοῦ ὡς πρὸς τὸ λεγόμενον τῇ στροφῇ πρόσκειται, τὰ δὲ ἐπιφθεγματικὰ καὶ πρὸς νοῦν συντελεῖ*), *οἷον τὸ Βακχυλίδου· Ἦ κτλ. καὶ πάλιν παρὰ τῷ αὐτῷ Βακχυλίδῃ· Σὺ κτλ.* — Fr. 25. *μόνος*, C *μόνον*, Gaisford *μοῦνος* in priore editione, ut videtur casu. — *ἐρᾷς* Ursinus, vulgo *ὁρᾷς*, Stephanus *ὁρᾷ*. — Fr. 26. V. 1. *μούνῳ* ut videtur libri praeter E, qui *μόνῳ*. — V. 2. *τὴν φίλην*, malim *τὰν φίλαν*.

Fr. 27. Athen. II 39 E: *Διὸ Βακχυλίδης φησί· Γλυκεῖ' κτλ.* Cf. Eustath. 1198, 20. Neue *Scolium* (sive Paroenium carmen) esse putat, quem nunc sequor: antea inter *Erotica* rettuli, quoniam haec arcta necessitudine coniuncta sunt. — V. 1. *ἀνάγκα* BCD, *ἀνάγκη* VL.

ἐσσυμενᾶν κυλίκων θάλπησι θυμόν,
Κύπρις ὥς· ἐλπὶς γὰρ αἰθύσσει φρένας

Στρ. β'.

ἀμμιγνυμένα Διονυσίοισι δώροις,
ἀνδράσι θ' ὑψοτάτω πέμπει μερίμνας·
αὐτίχ' ὁ μὲν πόλεων κρήδεμνα λύει,
πᾶσι δ' ἀνθρώποις μοναρχήσειν δοκεῖ·

Στρ. γ'.

χρυσῷ δ' ἐλέφαντί τε μαρμαίροισιν οἶκοι,
πυροφόροι δὲ κατ' αἰγλάεντα (καρπόν)
νᾶες ἄγουσιν ἀπ' Αἰγύπτου, μέγιστον
πλοῦτον· ὣς πίνοντος ὁρμαίνει κέαρ.

*28. [27.] 1236

⏑́ ⏑ – ⏑ ⏑́ ⏑ – ⏑ ⏑́ ⏑ – ⏑ ⏑́ ⏑ – ⏑ ⏑́ ⏑ – ⏑ ⏑́ ⏑ – ⏑ ⏑́ ⏑ –
⏑́ ⏑ – ⏑ ⏑́ ⏑ – ⏑ ⏑́ ⏑ – ⏑ ⏑́ ⏑ – ⏑ ⏑́ ⏑ – ⏓

Οὐ βοῶν πάρεστι σώματ', οὔτε χρυσός, οὔτε πορφύρεοι
τάπητες, ἀλλὰ θυμὸς εὐμενής
Μοῦσά τε γλυκεῖα καὶ Βοιωτίοισιν ἐν σκύφοισιν οἶνος ἡδύς.

— V. 2. ἐσσυμενᾶν scripsi, nam minus placet ἐσσυμένα, σευομένα BCD, γευομένα VL. Herwerden requirit σευομένα 'κ κυλίκων, quod non ferendum, Blass σευομενᾶν requirit; ego aliquando conieci νεισσομενᾶν, quemadmodum Phocyl. fr. 11 dixit κυλίκων περινεισσομενάων. — V. 3. Κύπρις ὥς· ἐλπὶς γὰρ αἰθύσσει φρένας scripsi, nam Κυπρίας ὡς ἐλπὶς αἰθ. φρ. minus convenit. Olim Erfurdtium secutus sum scribentem Κύπριδος δ' ἐλπὶς διαιθύσσει, libri Κυπρίδος· ἐλπὶς δ' αἰθύσσει. — V. 4. ἀμμιγνυμένα, vulgo ἀναμιγνυμένα, Neue ἀμμιγνυμένας. — V. 5. ἀνδράσι θ', libri ἀνδράσι δ'. — V. 6. αὐτίχ' ὁ μέν scripsi, vulgo αὐτὸς μὲν, C αὐτὴ μέν, Meineke αὐτόθι μὲν, idem postea οὗτος μέν, i. e. Διόνυσος, non recte, sed multo deterius quod Blass coniecit ἀνδράσι δ' ὑψοτάτω πέμπει vel πέμπεις μερίμνας αὐτός· ὁ μὲν i. e. οἶνος vel Διόνυσος. Idem v. 3 διαιθύσσῃ corrigit, quoniam θάλπησι v. 2 coniunctivum esse censet, sed hoc versu indicativum tuetur. — πόλεων, fort. πολίων, quod nunc etiam Meineke commendat. — κρήδεμνα Erfurdt (nisi malis κράδεμνα), vulgo κρήδεμνον. — V. 8. μαρμαίροισιν Neue, vulgo μαρμαίρουσιν (ita L, μαρμαίρουσ' V). — V. 9. αἰγλάεντα scripsi, legebatur αἰγλήεντα. — καρπόν adieci, Erfurdt πόντον. — V. 10. νᾶες scripsi, vulgo νῆες. — ἀπ', ἐπ' BCD. — V. 11. ὣς Ilgen, vulgo ὡς.

Fr. 28. Athen. VI 500 B: Μνημονεύει δὲ τῶν Βοιωτικῶν σκύφων Βακχυλίδης ἐν τούτοις, ποιούμενος τὸν λόγον πρὸς τοὺς Διοσκόρους, καλῶν αὐτοὺς ἐπὶ ξενίᾳ (corrigas ξένια)· Οὐ βοῶν κτλ. Ad Paroenia rettulit Neue. Carmen puris trochaeis constat, nam v. 2 in voce Βοιωτίοισι prima syllaba ex more corripitur. — V. 1. ἀλλὰ, B ἄλλος. — V. 2. Μοῦσα, olim Μοῖσα conieci, sed in his trochaicis versibus atticae dialecti vestigia ubique insunt, cf. fr. 24. — Βοιωτίοισιν, B Βοιωτί εἰσιν.

ΕΞ ΑΔΗΛΩΝ ΕΙΔΩΝ.

*29. [30.]

– ⏑ ⏑ – ⏑ ⏑ – – ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ ×
– ⏑ ⏑ – – ⏑ ⏑ – ⏑ ⏑ – – ⏑ ⏑ – – ⏑ ⏑ –
⏑ ⏑ – – ⏑ ⏑ – ⏑ ⏑ – – –
⏑ ⏑ – ⏑ ⏑ – – ⏑ ⏑ – ⏑ ⏑ ×
⏑ ⏑ – – ⏑ ⏑ – – ⏑ ⏑ – ×

Ὦ Τρῶες ἀρηΐφιλοι, Ζεὺς ὑψιμέδων, ὡς ἅπαντα δέρκεται,
οὐκ αἴτιος θνατοῖς μεγάλων ἀχέων· ἀλλ' ἐν μέσῳ κεῖται κιχεῖν
πᾶσιν ἀνθρώποισι Δίκαν ὁσίαν, ἁγνᾶς
Εὐνομίας ἀκόλουθον καὶ πινυτᾶς Θέμιδος·
ὀλβίων παῖδές νιν εὑρόντες σύνοικον.

30. [4.]

. . . . – ⏑ –
⏑ – ⏑ ⏑ – ⏑ ⏑ –
– ⏑ ⏑ – – ⏑ ⏑ – – ⏑ ⏑ – –

Φάσομαι 1237
πιστὸν κῦδος ἔχειν ἀρετάν·
πλοῦτος δὲ καὶ δειλοῖσιν ἀνθρώπων ὁμιλεῖ.

31. [22.]

⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ ×

Ὦ Περίκλειτε, τἄλλ' ἀγνοήσειν μὲν οὔ σ' ἔλπομαι.

Fr. 29. Clemens Al. Strom. V 731: *Κακῶν γὰρ ὁ θεὸς οὔποτε αἴτιος· Ὦ Τρῶες Ἀρ., ὁ Λυρικός φησι, Ζεὺς κτλ.* Recte Sylburg et Boeckh *Bacchylidi* vindicant, nam secundum Porphyr. ad Hor. Carm. I 15 Cassandram Bacchylides fecit Troiae excidium vaticinari: „Hac ode Bacchylidem imitatur: nam ut ille Cassandram fecit vaticinari futura belli Troiani, ita hic Proteum." Adde Schol. Stat. Theb. VII 330: „Hic Bacchylides graecus poeta est, quem imitatus est Horatius in illa oda, in qua Proteus Troiae futurum narrat excidium." ita fere ex codd. Mon. et Frising. restituendum. Ad *Hymnos* haec refert Hartung. — V. 3. *ἁγνᾶς* scripsi, legebatur *ἁγνάν*, quod eiiciendum censuit Neue. Parum felix Blassii suspicio scribentis *Ὁσίας ἁγνᾶς Εὐνομίας τ' ἀκόλουθον* coll. Eurip. Bacch. 370. — V. 4. *Θέμιδος*, fort. *Θέμιτος*. — V. 5. *παῖδές νιν* Neue, vulgo *παῖδες ὦ νιν*, Brunck *παῖδες οἵ νιν*.

Fr. 30. Plut. de audiend. poet. c. 14: *Τὸ δὲ Φάσομεν κτλ. λεγόμενον ὑπὸ τοῦ Βακχυλίδου.* — V. 1. *φάσομαι* scripsi, legebatur *φάσωμεν*, Boeckh coni. *πιστὸν φάσομεν*. Antea conieci *φάσω μόναν πιστὸν κτλ.*

Fr. 31. Heph. 76: *Δεδηλώσθω δέ, ὅτι καὶ ὅλα ᾄσματα κρητικὰ*

32. [31.]

Serv. Virg. Aen. II 201: „Sane Bacchylides de Laocoonte et uxore eius et de serpentibus a Calydnis insulis venientibus atque in homines conversis dicit."

33. [32.]

– ⏑ ⏑ – ⏑ ⏑ – – ⏑ ⏑ – – ⏑ ⏑ – ⏑ ⏑ –
⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ – – ⏑ ⏑ – – ⏑ ⏑ – –
⏑ ⏑ . .

Ἕστα δ' ἐπὶ λάϊνον οὐδόν, τοὶ δὲ θοίνας ἔντυον, ὧδέ τ' ἔφα·
Αὐτόματοι δ' ἀγαθῶν δαῖτας εὐόχθους ἐπέρχονται δίκαιοι
φῶτες.

34. [33.]

⏑ ⏑ – ⏑ ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ – –
⏑ ⏑ – – ⏑ ⏑ ⏑ – . . .

συντίθεται, ὥσπερ καὶ παρὰ Βακχυλίδῃ, ὦ περικλειτὲ δ' ἄλλ' κτλ. ita libri, etiam A, nisi quod Turneb. *τ' ἄλλ'*. Scripsi *ὦ Περίκλειτε, τἄλλ'*, nisi forte praeterea *τἄμ'* scribendum, Neue coni. *ὦ Περικλειτίδα, ἀλλ'* et inter *Hyporchemata* rettulit; est fortasse ex *Partheniis*, quae Bacchylidem scripsisse testatur Plut. de mus. c. 17. Blass scripsit *ὦ περικλειτὲ Δᾶ', ἀγν.*, hominis compellationem ab hyporchemate alienam ratus, quam opinionem refellere nihil attinet.

Fr. 33. Athen. V 178 B: *Βακχυλίδης δὲ περὶ Ἡρακλέους λέγων ὡς ἦλθεν ἐπὶ τὸν τοῦ Κήϋκος οἶκον, φησίν· Ἕστα κτλ.* — V. 1. *ἕστα* Neue, vulgo *ἕστη*, B *ἔστι*. Pro *ἕστα δ'* fort. rectius *ἕστα τ'* scribendum, ut hoc incisum cum *ὧδέ τ' ἔφα* congruat. — *ἔντυον* Neue, *ἔντυνον* VL, *εὔτονον* B. — *ἔφα* Neue, *ἔφασ'* PVL, *ἔφασκ'* Stephanus. — V. 2. *δ'*, Brunck delevit, Hartung *αὐτόματοι 'π' ἀγαθῶν* perperam. — Respicit haec Zenob. II 19 *αὐτόματοι δ' ἀγαθοὶ ἀγαθῶν ἐπὶ δαῖτας ἴενται· οὕτως Ἡράκλειτος ἐχρήσατο τῇ παροιμίᾳ, ὡς Ἡρακλέους ἐπιφοιτήσαντος ἐπὶ τὴν οἰκίαν Κήυκος τοῦ Τραχινίου καὶ οὕτως εἰπόντος*: ubi pro vitioso *Ἡράκλειτος* cod. Milleri Misc. 350 recte *ὁ Βακχυλίδης*. Schneidewin *Ἡσίοδον* scribendo paroemiographum, non librarios castigavit: nam sane poeta lyricus Hesiodi vestigia legit, qui in carmine, quod *Κήυκος γάμος* inscriptum fuit, Herculem hoc versu *αὐτόματοι δ' ἀγαθοὶ ἀγαθῶν ἐπὶ δαῖτας ἴενται* hospitem alloqui fecit; nam schol. Plat. Symp. 174 B a vero aberrat, cum dicit a principio *δειλῶν ἐπὶ δαῖτας* fuisse, quamquam fidem habuerunt cum alii tum Müller Dor. II 481: neque enim par fuit Herculem tam gravi opprobrio hospitem laedere. Eupolis primus ut videtur ludibundus *δειλῶν* substituit. Locum difficilem Platonis, qui falso criminatur Homerum corrupisse proverbium, quod ille omnino non respexit, nemodum probabiliter expedivit. Alia varietas, quam nostri homines commenti sunt, *δειλοὶ δειλῶν* omni auctoritate destituta est.

Fr. 34. Clem. Al. Strom. V 715: *Ἀκούσωμεν οὖν πάλιν Βακχυλί-*

Οἱ μὲν ἀδμᾶτες ἀεικελιᾶν εἰσὶ νόσων καὶ ἄνατοι,
οὐδὲν ἀνθρώποις ἴκελοι.

35. [35.] 1238

. . . _ ∪ ∪ _ ∪ ⏑ ∪ _
∪ ⏑ ∪ _ _ ⏑ ∪ ∪ _ ∪ ∪ _

Οὐ γὰρ ὑπόκλοπον φορεῖ
βροτοῖσι φωνάεντα λόγον σοφία.

36. [36.]

. . _ ⏑ ∪ _ _ ⏑ ∪ _
_ ⏑ ∪ _ ∪ ⏑ ∪ _ _ ⏑ ∪ _ _ ⏑ ∪ ⏓
⏑ ∪ _ _ ⏑ ∪ ∪ _ ∪ _ _
⏑ ∪ _ _ ⏑ ∪ _ ∪

Θνατοῖσι δ' οὐκ αὐθαίρετοι
οὔτ' ὄλβος οὔτ' ἄκαμπτος Ἄρης οὔτε πάμφθερσις στάσις,
ἀλλ' ἐπιχρίμπτει νέφος ἄλλοτ' ἐπ' ἄλλαν
γαῖαν ἁ πάνδωρος αἶσα.

37. [37.]

_ ⏑ ∪ ∪ _ ∪ _ ⏑ ∪ _ ∪ ∪ _ ⏓

Εἰ δὲ λέγει τις ἄλλως, πλατεῖα κέλευθος.

δον τοῦ μελοποιοῦ περὶ τοῦ θείου λέγοντος· Οἱ μὲν ἀδμῆτες ἀεὶ καὶ λίαν νούσων εἰσὶ καὶ ἀναίτιοι κτλ. Eadem Euseb. Praep. Ev. XIII 679, ubi *ἀεικελίων* et deinde *εἴκελοι* legitur; *ἀδμᾶτες* scripsit Boeckh, *ἀεικελιᾶν* Neue. Deinde *εἰσὶ νόσων καὶ ἄνατοι* scripsi (et *ἄνατοι* iam Schaefer emendavit), cum olim *νούσων εἰσὶ καὶ (κακῶν) ἄνατα* edidissem. Neue coniecit deleto verbo *εἰσίν*, *ἄνατοι τ'*, Iacobs *καὶ ἄναιμοι κοὐδέν*, Hartung scripsit *νούσων τε καὶ γήρως ἄνατοι*. In exordio fort. leg. *Θεοὶ μὲν ἀδ.*

Fr. 35. Clem. Al. Paedag. III 310: *Οὐ γὰρ ν. φ. βρ. φωνάεντα λόγον, ἔσται λόγος σοφία, ὥς φησι Βακχυλίδης.* ubi codd. Nov. Pal. Reg. *ἔστε*, et Bodl. *σοφίας* exhibent. Verba *ἔσται λόγος* (quae *εντα λόγον* videntur ex antiquo libro correcto in hunc modum *φωνὰ ἔσται λόγος* orta esse) delevit Neue, Schmidt scripsit *φωνᾶντα λόγον ἐς τέλος σοφίας*. Locus nondum persanatus, nihil egit Cobet *λόγον ἁ τέλειος σοφία* corrigens.

Fr. 36. Stob. Ecl. Phys. I 5, 3: *Βακχυλίδου.* — V. 1. *θνατοῖσι* Neue, vulgo *θνητοῖς*. — *δ'* add. AV, vulgo deest. — V. 2. *ὄλβος* V, *ὄλβιος* A, *ὄλβος τ'* H, vulgo *ὄλβον*. — *ἄκαμπτος*, in proecdosi *ἄγναμπτος* scripsi. — *πάμφθερσις* VA, *πάνφθερσις* E, vulgo *πάνφερσις* et sic H. — V. 3. AH *ἐπιχρίπτει* et *ἔπαλαν*. — V. 4. *γαῖαν* Boeckh, vulgo *γᾶν*. — *αἶσα* Canteri cod., vulgo *δεῖσα*.

Fr. 37. Plut. vit. Num. c. 4: *Εἰ δὲ λέγει* (C *λέγοι*) *τ. ἄ., κατὰ Βακχυλίδην, πλ. κέλευθος.* nisi forte priora Plutarchi potius sunt verba.

38. [38.]

⏑ ⏓ ⏑ ⏑ – ⏓ ⏑ ⏑ – ⍥ ⏑ ⏓ ⏑ –

Μελαγκευθὲς εἴδωλον ἀνδρὸς Ἰθακησίου.

39. [39.] 1239

⏓ ⏑ – – ⏓ ⏑ – – ⏓ ⏑ ⏑ – ⏑ ⏑ – ⏒

Τὰν ἀχείμαντόν τε Μέμφιν καὶ δονακώδεα Νεῖλον.

40. [40.]

⏑ ⏑ ⏓ – ⍥ ⏑ – – ⍥ ⏑ – ⏓ ⏑ ⏑ –

Ἑκάτα δᾳδοφόρε Νυκτὸς μελανοκόλπου θύγατερ.

41. [15.]

⏑ ⏓ ⏓ ⏑ ⏑ – ⏓ ⏑ – ⏑ ⏑ – ⏒

⏓ ⏑ – ⏑ – ⏑ ⏑ – ⍥ ⏑ – ⏒

Ποσειδάνιον ὡς Μαντινεῖς τριόδοντα
χαλκοδαιδάλοισιν ἐν ἀσπίσι φορεῦντες.

42. [42.]

⏑ ⏑ ⏓ – ⏑ ⏑ ⏓ ⏑ ⏓ – ⏑ ⏑ ⏓ ⏒

Ἀβρότητι ξυνέασιν Ἰώνων βασιλῆες.

Fr. 38. Etym. M. 296, 1 et Bachmann An. I 208, 13: *Εἴδωλον· . . . σκιῶδες ὁμοίωμα· ἢ φαντασία σώματος· σκιά τις ἀεροειδής, ὡς καὶ Βακχυλίδης· Μελαγκεθὲς κτλ.* ubi M *ἄνδρας Ἰθακησίους*. Eadem Cram. An. Par. IV 168, 30. At Schol. Il. ε 449 (om. Bekker), Apostol. III 37. Suid. v. *εἴδωλον μελαμβαφές* exhibent. Recte Neue *μελαγκευθές*, non tamen satisfecit Hartungo, qui *μεγάκητες* scripsit.

Fr. 39. Athen. I 20 D: *Μέμφιν . . . περὶ ἧς Βακχυλίδης φησί· Τὴν κτλ.* Respicit Eust. Il. 864, 22. — *Τὰν* Neue, v. *τήν*. — Hartung ad *Hymnos* refert.

Fr. 40. Sch. Ap. Rhod. III 467: *Βακχυλίδης δὲ Νυκτός φησιν αὐτὴν* (Hecaten) *θυγατέρα· Ἑκάτα κτλ.* — *δᾳδοφόρε* Ursinus, L *δαϊδοφόρε*, v. *δᾳδοφόρου*, P. *δαφόρου*. — *μελανοκόλπου* Ursinus, v. *μεγαλοκόλπου*. — Hartung ad *Hymnos* refert.

Fr. 41. Schol. Pind. Ol. XI 83: *Ὁ Δίδυμος δὲ οὕτω καθίστησι τὸν λόγον· τὴν Μαντινέαν φησὶν εἶναι ἱερὰν τοῦ Ποσειδῶνος καὶ παρατίθεται τὸν Βακχυλίδην λέγοντα οὕτω· Ποσειδώνιον κτλ.* — V. 1. *Ποσειδάνιον* Gott. Vrat. D, vulgo *Ποσειδώνιον*. — *Μαντινεῖς*, olim *Μαντινέες* scripsi. — V. 2. *χαλκοδαιδάλοισιν*, Vat. *χαλκοδαιδάλοις*. — *ἀσπίσι*, Hartung *ἀσπίσιν*. — Neue ad *Dithyrambos* refert, vid. fr. 18.

Fr. 42. Ioann. Sicel. Walzii VI 241: *Ἁβροὶ τὸ παλαιὸν οἱ Ἴωνες, ὥς που καὶ Βακχυλίδης φησί, τὸν σφῶν αὐτῶν ῥυθμὸν δηλῶν· ἁβρότητι ξ. Ἴωνες βασ.* Contra Schol. ib. V 493 et VII 982 *τῶν ἁβροβίων Ἰώνων ἄναξ*, eadem cod. Vindob. 199: unde *Ἰώνων* pro *Ἴωνες* restitui. Resp. Hesychius *ἁβρότητι· ἁπαλότητι, τρυφερότητι*. Hartung ex his composuit. . . . *Ἰώνων βασιλῆες | ἁβροβίων*.

43. [43.]

_ ⏑ ⏑ _ _ ⏑ ⏑ _ _ ⏑ ⏑ ⏑ ⏑ ⏓

Χρυσὸν βροτῶν γνώμαισι μανύει καθαρόν.

44. [60.]

_ ⏑ ⏑ _ _ ⏑ ⏑ ⏑ _ ⏑ ⏑ _ ⏑ ⏑ _

Ὀργαὶ μὲν ἀνθρώπων διακεκριμέναι μυρίαι.

45. [41.] 1240

⏑ ⏑ _ _ ⏑ ⏑ _

Πλήμμυριν πόντου φυγών.

46.

⏑ ⏑ ⏑ _ ⏑ ⏑ _

Λυσμενέων δ' ἀϊδής.

47. [59.]

. . _ _ ⏑ ⏑ _ ⏑ ⏑ _ ⏑ _

Νωμᾶται δ' ἐν ἀτρυγέτῳ χάει.

Fr. 43. Prisc. Metr. Terent. p. 251 ed. Lind.: *Similiter Bacchylides: Χρυσὸν κτλ. Hic quoque iambicus in fine tribrachum habuit.*

Fr. 44. Zenob. Prov. III 25: *Δίχολοι γνῶμαι· παρὰ τὸ διχῇ ἰδιότροποι, κατὰ μετάληψιν. Χόλος γὰρ ἡ ὀργή, ὀργὴ δὲ τρόπος. Βακχυλίδης· Ὀργαὶ κτλ.* Similia Hesych. s. v. *δίχολοι. . . . χόλος γὰρ ἡ ὀργὴ καὶ (ὀργὴ ὁ) τρόπος· Βακχυλίδης* (cod. *ἴδος*)· *ὀργαὶ μὲν κτλ.* Respexit etiam ut videtur idem Hesych. *διακεκριμέναι· διακεχωρισμέναι.* Contra *Alcmani* haec tribuit schol. Hippocr. ap. Daremberg 204. Littré V 484: *Ὀργὰς γὰρ τοὺς τρόπους ἐκάλουν οἱ ἀρχαῖοι, ὡς καὶ Ἀλκμάν φησιν· ἐν μὲν ἀνθρώπῳ ὀργαὶ κεκριμέναι* (Foesius *βεβριμέναι*) *μυρίαι.* unde Schmidt lusit *ἐντὶ δ' ἀνθρώπων μὲν* vel *Ἀλκμάν φησιν ἐν μελῶν α'*. Idem invitus in Hesychio vett. edd. vitium *διακεκριμμέναι* repetiit, quod in errorem induxit nuperum Erotiani editorem Klein. Alcmani per errorem tribuitur hic versus, fortasse quia Alcaei versus olim praecessit, vide ad Alcaei fr. p. 193.

Fr. 45. Et. M. 676, 25: *Πλημμυρὶς . . . εἰ μέντοι ὄνομά ἐστιν, εὔλογον βαρύνεσθαι αὐτὸ διὰ τὴν παρὰ Βακχυλίδῃ αἰτιατικήν, οἷον· Πλήμμυριν κτλ.* cf. Favor. 368.

Fr. 46. Cram. An. Ox. I 65, 22: *Βαρυτόνως δὲ τὸ Ἀΐδης, τὸ γὰρ ἐπιθετικὸν ὀξύνεται· δυσ. δ' ἀ. λέγει Βακχυλίδης.*

Fr. 47. Sch. Hesiod. Th. 116: *Βακχυλίδης δὲ Χάος τὸν ἀέρα ὠνόμασε, λέγων περὶ τοῦ ἀετοῦ· Νωμᾶται κτλ.* Cf. Ibyc. fr. 28.

ΕΠΙΓΡΑΜΜΑΤΑ.

48. [28.]

Κούρα Πάλλαντος πολυώνυμε, πότνια Νίκα,
πρόφρων Κραναϊδῶν ἱμερόεντα χορόν
αἰὲν ἐποπτεύοις, πολέας δ' ἐν ἀθύρμασι Μουσᾶν
Κηΐῳ ἀμφιτίθει Βακχυλίδῃ στεφάνους.

49. [29.] 1241

Εὔδημος τὸν νηον ἐπ' ἀγροῦ τόνδ' ἀνέθηκεν
τῷ πάντων ἀνέμων πιοτάτῳ Ζεφύρῳ.
εὐξαμένῳ γάρ οἱ ἦλθε βοαθόος, ὅφρα τάχιστα
λικμήσῃ πεπόνων καρπὸν ἀπ' ἀσταχύων.

50.

Ammian. Marcell. XXV 4: „Item ut hoc propositum validius firmaret (*Iulianus*), recolebat saepe dictum lyrici Bacchylidis, quem legebat iucunde id adserentem, *quod ut egregius pictor vultum speciosum effingit, ita pudicitia celsius consurgentem vitam exornat.*

51. [44.]

Apollon. de Adv. Bekk. An. II 596, 14: *Ὃν τρόπον καὶ ἐπ' ὀνομάτων μεταπλασμοὶ γίνονται, καθάπερ . . . τὸ πυργοκέρατα παρὰ Βακχυλίδῃ.* Conieci *πύργον ὑψικέρατα*, cf. Pindari fr. 325.

52. [45.]

Apollon. de Synt. 186: *Ἐντεῦθεν τὸ Ἀρίσταρχος καὶ τα*

Fr. 48. Anth. P. VI 313: A *Βακχυλίδου*. — V. 2. *Κραναϊδῶν* Meineke, *προφρονέως Κραναῶν* Schneidewin, cod. *Κρανναίων*. Neque tamen satisfacit Meinekii coniectura, nam si atticus erat chorus, tribus nomen velut *Κεκροπιδῶν* exspectamus. Ego olim *Καρθαιῶν* scripsi, quod probavit Hecker, qui praeterea etiam v. 1 *κούρη* et *Νίκη*, v. 3 *Μουσέων* requirit, Hartung *ἐν Κραναῶν*. — V. 3. *Μουσᾶν*, cod. *Μοῦσαν*. — V. 4. *Κηΐῳ . . . Βακχυλίδῃ* Brunck, cod. *κηόρῳ . . . βακχυλίδης*.

Fr. 49. Anth. P. VI 53: A et corr. *Βακχυλίδου ἀνάθημα τῷ ζεφύρῳ ἀνέμῳ παρὰ εὐδήμου γεωργοῦ*. V. 1 et 2 affert Suidas v. *πιότατος*. — V. 2. *πιοτάτῳ*, Unger et Schneidewin coni. *πιστοτάτῳ*, Schneider Saxo *πρηϋτάτῳ*, quod ceteris criticorum inventis multum praestat, commendatur enim sermonis ambiguitate, quam poeta videtur quaesivisse, Meineke *λειοτάτῳ*, Rauchenstein *λαμπροτάτῳ*. — V. 3. *γάρ οἱ*, Hermann *ὅ οἱ*, Meineke *γὰρ ἐπῆλθε*, sed deinde *γὰρ ὅγ' ἦλθε*, quod verum videtur, Schmidt perperam *γὰρ ἴηλε*. — *βοαθόος*, Pl. *βοηθόος*.

τούτῳ ὅμοια κύρια ὄντα πρὸς ἐνίων οὐ κατηριθμεῖτο εἰς τὰ σύνθετα, ὅτι μὴ καὶ τοῖς δηλουμένοις ἐκέχρητο· ἀλλ' ἐπί γε τούτων ἐδείκνυτο, ὡς ἡ πρώτη σύνθεσις ἐπεκράτει, καθὼς ἔχει τὸ ἀρίσταρχος (ἀρισταρχ A, ἀριστάρχου rel.) *Ζεὺς παρὰ τοῖς περὶ Βακχυλίδην, καὶ οὐχ ἡ ἐξ ὑστέρου γενομένη συμβολικὴ μετάθεσις.*

53. [47.]

Athen. IV p. 174 F: *Γιγγραῖνοισι γὰρ οἱ Φοίνικες, ὥς φησιν ὁ Ξενοφῶν* (fort. *Ξενοφάνης*), *ἐχρῶντο αὐλοῖς, σπιθαμιαίοις τὸ μέγεθος, ὀξὺ καὶ γοερὸν φθεγγομένοις· τούτοις δὲ καὶ οἱ Κᾶρες χρῶνται ἐν τοῖς θρήνοις, εἰ μὴ ἄρα καὶ ἡ Καρία Φοινίκη ἐκαλεῖτο, ὡς παρὰ Κορίννῃ καὶ Βακχυλίδῃ ἐστὶν εὑρεῖν.*

54. [48.]

Sch. Arist. Av. 1536: *Εὐφρόνιος, ὅτι Διὸς θυγάτηρ ἡ Βασιλεία· καὶ δοκεῖ τὸ κατὰ τὴν ἀθανασίαν αὐτῇ οἰκονομεῖν, ὃ ἔχει καὶ παρὰ Βακχυλίδῃ ἡ Ἀθηνᾶ, τῷ Τυδεῖ δώσουσα τὴν ἀθανασίαν.*

55. [49.]

Sch. Pind. Ol. I 37: *Ὁ δὲ Βακχυλίδης τὸν Πέλοπα τὴν Ῥέαν λέγει ὑγιάσαι καθεῖσαν διὰ τοῦ λέβητος, ἀφ' οὗ καὶ ὑγιης ἀνεδόθη.* ubi corrigas *ἐγκαθεῖσαν πάλιν τῷ λέβητι.* Schol. Vrat. A quod his subiungit *τοῦ βου· οὖν ἀκουστέον*, librarii correctio est, qui *τὸ δεύτερον* vel *ἐκ τοῦ δευτέρου* addendum censuit, cum quid requireret instituta sententia, animadvertisset. Hinc poeta nescio quis ap. Et. M. 279, 14 Pelopem dixit *δὶς ἡβήσαντα.*

56. [50.] 1242

Schol. Il. *μ* 292: *Εὐρώπην τὴν Φοίνικος Ζεὺς θεασάμενος ἔν τινι λειμῶνι μετὰ Νυμφῶν ἄνθη ἀναλέγουσαν ἠράσθη καὶ κατελθὼν ἤλλαξεν ἑαυτὸν εἰς ταῦρον καὶ ἀπὸ τοῦ στόματος κρόκον ἔπνει. οὕτω δὲ τὴν Εὐρώπην ἀπατήσας ἐβάστασε καὶ διαπορθμεύσας εἰς Κρήτην ἐμίγη αὐτῇ· εἶθ' οὕτω συνῴκισεν αὐτὴν Ἀστερίωνι τῷ Κρητῶν βασιλεῖ· γενομένη δὲ ἔγκυος ἐκείνη τρεῖς παῖδας ἐγέννησε, Μίνωα, Σαρπηδόνα καὶ Ῥαδάμανθυν· ἡ ἱστορία παρὰ Ἡσιόδῳ καὶ Βακχυλίδῃ.*

57.

Schol. Callim. in Del. v. 28: *εἰ δὲ λίην πολέες σε περιτροχόωσιν ἀοιδαί·*] *Αἱ Πινδάρου καὶ Βακχυλίδου.* unde coniicias poetam in carmine aliquo Deli laudes celebrasse, nisi interpres ille commentus est.

58.

Himer. Or. XXIX: *Καὶ Σιμωνίδῃ καὶ Βακχυλίδῃ ἐσπούδασται ἡ πόλις . . .* (*Ἰουλίς.*)

59.

Schol. Il. ω 496: *Πιθανὸν μίαν τεκεῖν ἐννεακαίδεκα, οὐχ ὡς Βακχυλίδης πεντήκοντα τῆς Θεανοῦς ὑπογράφει παῖδας.*

60. [51.]

Sch. Od. φ 295: *Βακχυλίδης δὲ διάφορον οἴεται τὸν Εὐρυτίωνα· φησὶ γὰρ ἐπιξενωθέντα Δεξαμενῷ* (ita Barnes, v. *δεξάμενος*) *ἐν Ἤλιδι ὑβριστικῶς ἐπιχειρῆσαι τῇ τοῦ ξενοδοχοῦντος θυγατρὶ καὶ διὰ τοῦτο ὑπὸ Ἡρακλέους ἀναιρεθῆναι καιρίως τοῖς οἴκοις ἐπιστάντος.* Cf. Eust. 1909, 61, ubi *ἐκεῖ* pro *οἴκοις* legitur.

61. [52.]

Sch. Pind. Isthm. IV 92: *Ἰδίως τὸν Ἀνταῖόν φησι* (*Πίνδαρος*) *τῶν ξένων τῶν ἡττωμένων τοῖς κρανίοις ἐρέφειν τὸν τοῦ Ποσειδῶνος ναόν· τοῦτο γὰρ ἱστοροῦσι τὸν Θρᾷκα Διομήδην ποιεῖν, Βακχυλίδης δὲ Εὔηνον ἐπὶ τῶν Μαρπίσσης* (sic Heyne, v. *Μαρσίππης*) *μνηστήρων, οἱ δὲ Οἰνόμαον, ὡς Σοφοκλῆς.*

62. [53.]

Sch. Apoll. Rh. II 498: *Τινὲς τέσσαρας Ἀρισταίους γενεαλογοῦσιν, ὡς καὶ Βακχυλίδης· τὸν μὲν Καρύστου, ἄλλον δὲ Χείρωνος* (sic P, L et v. *Χέρωνος*, fort. *Χαίρωνος*), *ἄλλον δὲ Γῆς καὶ Οὐρανοῦ, καὶ τὸν* (l. *τέταρτον*) *Κυρήνης.*

63. [54.]

Gellius N. A. XX 7: „Nam Homerus pueros puellasque eius (Niobae) bis senos dicit fuisse, Euripides bis septenos, Sappho bis novenos, Bacchylides et Pindarus bis denos."

64. [55.] 1243

Sch. Hesiod. Th. 914: *Ἁρπάσθαι δὲ τὴν Περσεφόνην φασὶν οἱ μὲν ἐκ Σικελίας, Βακχυλίδης δὲ ἐκ Κρήτης.*

65.

Vit. Hom. V p. 28 Westerm. (Cram. An. Par. III 98, 15): *Ὅμηρος . . . κατὰ δὲ Βακχυλίδην καὶ Ἀριστοτέλην τὸν φιλόσοφον Ἰήτης.*

66. [56.]

Strabo XIII 616: *Ὁ δὲ Κάϊκος οὐκ ἀπὸ τῆς Ἴδης ῥεῖ, καθάπερ εἴρηκε Βακχυλίδης.*

67. [57.]

Schol. Apoll. Rh. I 1165: *Ῥύνδακος ποταμός ἐστι Φρυγίας, οὗ μέμνηται Βακχυλίδης.* Schneidewin Bacchylidi tribuit quod est ap. Sch. Il. ε 759 et Eustath. ib. *Ῥύνδακον ἀμφὶ βαθύσχοινον*, quod Hecker Callimacho vindicare maluit.

68. [58.]

Sch. Apoll. Rh. IV 973: *Μνημονεύει (τοῦ ὀρειχάλκου) καὶ Στησίχορος καὶ Βακχυλίδης.*

69.

Tzetzes Theogon. v. 81. (Matranga An. 580): *ἐν μὲν τῇ γῇ γεγόνασι τρεῖς Ἐρινύες πρῶτον, ἡ Τισιφόνη, Μέγαιρα, καὶ Ἀληκτω σὺν ταύταις, καὶ σὺν αὐταῖς οἱ τέσσαρες ὀνομαστοὶ Τελχῖνες, Ἀκταῖος, Μεγαλήσιος, Ὄρμενός τε καὶ Λύκος, οὓς Βακχυλίδης μέν φησι Νεμέσεως Ταρτάρου, ἄλλοι τινὲς δὲ λέγουσι τῆς Γῆς τε καὶ τοῦ Πόντου.*

Quod exhibet Natalis Com. Mythol. IX 8 p. 987: „Dicitur Polyphemus non modo amasse Galateam, sed etiam Galatum ex illa suscepisse, ut testatus est Bacchylides.“ qua fide sit dignum prorsus incertum.

MELANIPPIDES.

ΔΑΝΑΙΔΕΣ.

1.

⏑ ⏒ – – ⏑ ∪ – – ⏑ ∪ – ⏒
⏑ ∪ – – ⏑ ∪ – – ⏑ ∪ ⏒
⏑ ∪ – ∪ ⏑ ∪ – – ⏑ ∪ – – ⏑ ∪ –
∪ ⏑ ∪ ∪ – ∪ ∪ – – ⏑ ∪ ∪ – ∪ ∪ –
– ⏓ ∪ ∪ – – ⏓ ∪ ∪ – – ⏑ ∪ – – ⏑ ∪ ∪ – ∪ ∪ – –
⏓ ⏓ ∪ ⏔ ∪ ⏑ ∪ ⏒

Οὐ γὰρ ἀνθρώπων φόρευν μορφὰν ἐνεῖδος,
οὐ δίαιταν τὰν γυναικείαν ἔχον,
ἀλλ' ἐν ἁρμάτεσσι διφρούχοις ἐγυμνάζοντ' ἂν εὖ,
δι' ἄλσεα πολλάκι θήραισιν φρένα τερπόμεναι,

Melanippides. Fr. 1. Athen. XIV p. 651 F: *Μελανιππίδης δ' ὁ Μήλιος ἐν ταῖς Δαναΐσι φοίνικας τὸν καρπὸν οὕτως ὀνομάζει, τὸν λόγον ποιούμενος περὶ αὐτῶν· τῶν γὰρ ἀΐδων* (Α ἀϊδων)· *Οὐ γὰρ* κτλ. Recte Dobree et Emperius scrips. *περὶ αὐτῶν τῶν Δαναΐδων*. — V. 1. Videtur in archetypo Athenaei versus intercidisse, id quod saepius usu venit. Fortasse poeta scripserat: *οὐ γὰρ ἀνθρώπων φόρευν μορφάν, ὁ Νεῖλος* (*οὗς τρέφει μελαγχίμους* vel *διειπετής*). Nam Dobrei correctio *μορφᾶεν εἶδος* omnino improbanda, quamvis secuti sint Emperius *οὐ παρθένων*, et Meineke *οὐ γὰρ ἀνθρωπῶν* praeterea novantes; Meineke adhibuit Hesych. *ἀνθρωπώ· γυνή· Λάκωνες*, sed eiusmodi ambiguitatem aversantur poetae, nisi qui griphorum obscuritate legentes decipere student. Hartung *οὐδὲ παρθένων φορεῖν μορφὰν ἂν εἶδες, οὐ δίαιταν τ. γ. ἔχειν*. — V. 2. *οὐ δίαιταν τὰν* scripsi, cum in proecdosi edidissem *οὐδὲ τὰν δίαιταν*, ut etiam Dobree coniecit, libri *οὐδὲ τὰν αὐτὰν*, ubi Casaubonus et Emperius *αὐδάν* coni. — *γυναικείαν* Casaubonus, PVL *γυναικίαν*. — V. 3. *ἂν εὖ | δι' ἄλσεα* scripsi, Emperio placuit *ἂν εὖ | ἢ δι' ἄλσεα*, Meinekio *ἀν' εὖδι' ἄλσεα | πολλάκις*. Libri *ἀνευηλιάσδεα*. — V. 4. *θήραισιν* scripsi, *θήραις* Porson et Iacobs, libri *θῆρες*.

ἦθ' ἱερόδακρυν λίβανον εὐώδεις τε φοίνικας κασίαν τε
ματεῦσαι,
τέρενα Σύρια σπέρματα.

ΜΑΡΣΥΑΣ. 1245

2.

. . . . ⏑ – ⏑ – –
⏑ – – ⏑ – ⏑ – ⏑ – ⏑
⏑ – ⏑ ⏑ – ⏑ – ⏑ – –
⏑ – ⏑ ⏑ – ⏑ – ⏑ – ⏑

. . . . Ἃ μὲν Ἀθάνα
ὄργαν' ἔρριψέν θ' ἱερᾶς ἀπὸ χειρός,
εἶπέ τ'· Ἔρρετ' αἴσχεα, σώματι λύμα,
οὔ με τᾷδ' ἐγὼ κακότατι δίδωμι.

ΠΕΡΣΕΦΟΝΗ.

3.

. . – – ⏑ – – ⏑ – –
– – ⏑ – – ⏑
– – ⏑

. . Καλεῖται δ', εἵνεκ' ἐν κόλποισι γαίας
ἄχε' εἷσιν προχέων,
Ἀχέρων.

V. 5. ἦθ' ἱερόδακρυν (i. e. ἤτοι) scripsi, Emperius ἢ ἱερόδακρυν, libri ἱερόδακρυ. — ματεῦσαι Emperius, πατεῦσαι AB, κατεῦσαι PVL. — V. 6. Σύρια Meineke, v. Συρίας. — σπέρματα Fiorillo Emperius Meineke, v. τέρματα.

Fr. 2. Athen. XIV 616 E: Περὶ μὲν γὰρ αὐλῶν ὁ μέν τις ἔφη τὸν Μελανιππίδην καλῶς ἐν τῷ Μαρσύᾳ διασύροντα τὴν αὐλητικὴν εἰρηκέναι περὶ τῆς Ἀθηνᾶς· Ἃ μὲν κτλ. — V. 1. ἃ Schweighaeuser, A habet α, PVL τά. — Ἀθάνα C, sed ABPV ἀθάνατα, itaque v. 2 in proecdosi τῶργαν' scripsi, sed fort. rectius L ἀθαναία. — V. 2. ἔρριψέν θ', PVL ἔρριψέ τε. — V. 3. σώματι λύμα, Meineke σωματόλυμα. — V. 4. οὔ με scripsi, Hermann ἤ με, libri ἐμέ. — τᾷδ' Hermann, codd. δ'. — κακότατι C et A a m. pr., κακότητι PVL.

Fr. 3. Stob. Eclog. Phys. I 41, 50: Ἀχέροντα μὲν διὰ τὰ ἄχη, ὡς καὶ Μελανιππίδης ἐν Περσεφόνῃ· καλεῖται δ' ἐν κτλ. — V. 1. εἵνεκ' ἐν scripsi, legebatur ἐν, nisi forte ἕνεκ' ἐν praestat ionico numero continuato. Quod inserui εἵνεκα coniunctionis loco praeter Hom. H. in Ven. 199 adhibuit Pind. Isthm. VIII 33, frequentant Alexandrini. Hartung καλεῖται γὰρ ἓν edidit. — V. 2. ἄχε' εἷσιν correxi, VAE ἀχεοῖσι, vulgo ἀχαιοῖσι. Grotius ἄχεα, Schneidewin ἄχεα θνατοῖσι (ἀνθρώποισι), Nauck ἄχεα ῥέων Ἀχ., Emperius ἄχεα βροτοῖσι ῥέων, Hartung ἄχεα ῥόοισιν.

4.

⏑ – ⏑ ⍥ ⏑ –
⏑ ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ – –
⏑ ⏑ ⏑ – ⏑ ⏑ – ⏑ – ⏑
⏑ ⏑ ⏑ – – ⏑ ⏑ – –

Πάντες δ' ἀπεστύγεον ὕδωρ,
τὸ πρὶν ἐόντες ἀΐδριες οἴνου,
τάχα δη τάχα τοὶ μὲν ἀπ' ὧν ὅλοντο, 1246
τοὶ δὲ παράπληκτον χέον ὀμφάν.

5.

⏑ ⏑ ⏑ – ⏑ ⏑ – ⍥ ⏑ ⏑ –

Ἐπώνυμον, δέσποτ' οἶνον Οἰνέος.

6.

⏑ ⏑ ⏑ – ⏑ – ⏑ ⏑ ⏑ –
⏑ ⏑ – – ⏑ ⏑ ⏑ – ⏑ –

Κλῦθι μοι, ὦ πάτερ, θαῦμα βροτῶν,
τᾶς ἀειζώου μεδέων ψυχᾶς.

7.

⏑ ⏑ ⏑ ⏑ ⏑ – ⏑ ⏑ – – ⏑ ⏑ ⏑ – ⏑ ⏑ –

Γλυκὺ γὰρ θέρος ἀνδρὸς ὑποσπείρων παπίδεσσι πόθον.

Fr. 4. Athen. IX 429 B: *Οἱ δὲ ἀγνοοῦντες τὴν τοῦ οἴνου δύναμιν τὸν Διόνυσον φάσκουσι μανιῶν εἶναι αἴτιον τοῖς ἀνθρώποις, βλασφημοῦντες οὐ μετρίως· ὅθεν ὁ Μελανιππίδης ἔφη· Πάντες κτλ.* Hartung hoc fr. et fr. 5 putat petita esse ex dithyrambo, cui *Οἰνεὺς* nomen fuerit. — V. 2. *οἴνου*, B *οἶνον*. — V. 3. *ἀπ' ὧν ὅλοντο* correxi, A *οὖν ἀπωλαύοντο*, P *ἀπολαύοντο*, VL *οὖν ἀπελαύοντο*, Schweighaeuser *οὖν ἀπώλοντο*, Hartung *νοῦν ἀπόλοντο*. — V. 4. *τοὶ* L, *τῷ* V, *τόν* P.

Fr. 5. Athen. II 35 A: *Ὅτι τὸν οἶνον ὁ Κολοφώνιος Νίκανδρος ὠνομάσθαι φησὶν ἀπὸ Οἰνέως ... φησὶ δὲ καὶ Μελανιππίδης ὁ Μήλιος· Ἐπώνυμον κτλ.* — *δέσποτ'* (*δέσποτα* B) BCD, *ὦ δέσποτ'* VL, fortasse *δ'*, *ὦ δέσποτ'* scribendum, vel *ἐπώνυμον δός ποτ'*, Hartung *δὸς δέσποτ'*. — *Οἰνέος* scripsi, v. *Οἰνέως*.

Fr. 6. Clem. Alex. Strom. V 716: *Ὁ μελοποιὸς δὲ Μελανιππίδης ᾄδων φησίν· Κλῦθι κτλ.* Eadem Euseb. Praep. Ev. XIII 680 C, ubi v. 2 CF *ἀειζώους*, D *τὰς ἀειζώω*. — *μεδέων ψυχᾶς* DF ap. Eusebium, legebatur *ψυχᾶς μεδέων*.

Fr. 7. Plutarch. Erot. c. 15: *Γλυκὺ γὰρ θέρος ἀ. ὑ. π. π. κατὰ τὸν Μελανιππίδην* (ὁ Ἔρως) *τὰ ἡδιστα μίγνυσι τοῖς καλλίστοις· ἢ πῶς ἔφη, λέγομεν, ὦ Ζεύξιππε;* — *παπίδεσσι* scripsi, vulgo *πραπίδων*. — *πόθον*, E *πόθῳ*, unde possis *πόθων* restituere.

8.

Cram. An. Par. III 289, 2: *Ἡ δὲ περὶ τὸν Λίνον ἱστορία παρὰ Φιλοχόρῳ ἐν τῇ ιθ' καὶ παρὰ Μελανιππίδῃ.* Adde Schol. Hom. Il. σ 570.

9.

Schol. Hom. Il. ν 350: *Ἐντεῦθεν δὲ Μελανιππίδης κύουσαν ἀπὸ Διὸς Θέτιν ἐκδοθῆναι Πηλεῖ διὰ τὰ ῥηθέντα ὑπὸ Προμηθέως ἤτοι Θέμιδος.*

10.

Philodemus *περὶ εὐσεβείας* p. 23 ed. Gomperz (Vol. Hercul. coll. nov. II 51): *καὶ Σοφοκλῆς ἐ(ν Ἰνά)χῳ τὴν γῆν μ(ητέ)ρα* 1247
τῶν θεῶν φη(σιν), ἐν Τριπτολέμ(ῳ δὲ) καὶ Ἑστίαν εἶν(αι)· Κλείδημος δὲ (Ῥέαν addidit Sauppe) *μητέρα θεῶν ε(ἶναι, ὁ) κἀν τοῖς ἱεροῖς λόγοις τινὲς ἐξενην(ό)χασιν· Μελαν(ιππί)δης δὲ Δήμητ(ρα καὶ) μητέρα θεῶν φ(η)σιν μίαν ὑπάρχ(ειν).* ita novissima redintegravi, Nauck et Gomperz *Μελανιππίδης δὲ Δημήτε(ρι) μητέρα θεῶν φ(η)σιν μίαν ὑπάρχειν*, Sauppe *Δημήτε(ρα) μητέρα θεῶν ἐ(φίη)σιν μίαν ὑπάρχειν* quae omnino improbanda sunt.

Hartung praeterea coniecit, Melanippidem scripsisse carmen, quod *Νάρκισσος* inscriptum fuerit, abusus Meleagri prooemio v. 7: *Νάρκισσόν τε τορῶν Μελανιππίδου ἔγκυον ὕμνων*: at ille versus ad Melanippidis epigrammata spectat, quae penitus interierunt. — Sed Melanippidis reliquiis addendus videtur locus Plut. de mus. c. 15, ubi de Lydiae harmoniae originibus disserit, satis ille quidem impeditus: *Ὄλυμπον γὰρ πρῶτον Ἀριστόξενος ἐν τῷ πρώτῳ περὶ Μουσικῆς ἐπὶ τῷ Πύθωνί φησιν ἐπικήδειον αὐλῆσαι Λυδιστί· εἰσὶ δ' οἳ Μελανιππίδην τούτου τοῦ μέλους ἄρξαι φασί· Πίνδαρος δ' ἐν Παιᾶσιν ἐπὶ τοῖς Νιόβης γάμοις φησὶ Λύδιον ἁρμονίαν πρῶτον διδαχθῆναι· ἄλλοι δὲ Τόρρηβον πρῶτον τῇ ἁρμονίᾳ χρήσασθαι, καθάπερ Διονύσιος ὁ Ἴαμβος ἱστορεῖ.* Haec aperte corrupta, nam omnem fidem excedit, quemquam huius inventi laudem Melanippidi vindicavisse: itaque Volkmann *Anthippi* nomen substituere voluit, quod nomen interpres latinus a Pindaro memoratum esse auctor est: itaque Burette et Boeckh supplent *πρῶτον διδαχθῆναι ὑπ' Ἀνθίππου*, idque etiam Volkmann probavit: at si isto modo redintegratur Pindari testimonium, non iam potest supra eiusdem *Anthippi* nomen in Melanippidis locum succedere: nam plane praepostere Plutarchus eundem hominem bis memorasset. Equidem puto scribendum esse: *εἰσὶ δ' οἳ Ἀνθ-*

ιππον τούτου τοῦ μέλους ἄρξαι φασί, καθάπερ Μελανιππίδης· Πίνδαρος δ' ἐν Παιᾶσιν ἐπὶ τῆς Νιόβης γάμοις φησὶ Λύδιον ἁρμονίαν πρῶτον διδαχθῆναι. ut Pindarus non auctorem harmoniae Lydiae nominatim appellaverit, sed tantum memoriae prodiderit, quo tempore sit inventa. In Pindari fr. 84 oblitus sum supplementum illud (*ὑπ' Ἀνθίππου*) tollere.

XXXIX.

CINESIAS.

(ΑΣΚΛΗΠΙΟΣ.)

1.

Philodemus *περὶ εὐσεβείας* ed. Gomperz p. 52 (Hercul. Vol. collect. nova II 131): *Ἀσκληπι(ὸν δὲ Ζε)ὺς ἐκεραύνω(σεν ὡς μ)ὲν ὁ τὰ Ναυπα(κτι)κὰ συγγράψας (καὶ ἐ)ν Ἀσκληπιῷ (Τελ)έστης καὶ Κεινη(σίας) ὁ μελοποιός, ὅ(τι τὸν) Ἱππόλυτον (παρα)κληθεὶς ὑπ' Ἀρ(τέμιδ)ος ἀνέστ(η)σεν, (ὡς δ') ἐν Ἐριφύλῃ Σ(τησίχορο)ς, ὅτι Κα(πανέα καὶ Αν)κοῦργον.* Redintegraverunt locum Sauppe et Gomperz. Cinesiae carmen unde haec petita sunt, haud dubie *Ἀσκληπιὸς* inscriptum, quemadmodum Telestis dithyrambus.

2.

– ⏑ ∪ – –

Φθιῶτ' Ἀχιλλεῦ.

3.

Erotian. p. 113 ed. Klein: *Ῥαιβοειδέστατον* (libri *ῥεβοειδέστατον*, correxit Stephanus, *ῥεμβοειδέστατον* Charterius) *καμπυλώτατον· ῥαιβὸν* (*ῥεβὸν* libri) *γὰρ καὶ γαῦσον τὸ στρεβλὸν λέγεται· καὐτὸς δέ που φησίν· καμπυλώταται δὲ ἀνθρώπου πλευραὶ εἰσὶ*

Cinesias. Fr. 2. Athen. XII 551 D: *Ἦν δ' ὄντως μακρότατος καὶ λεπτότατος ὁ Κινησίας, εἰς ὃν καὶ ὅλον δρᾶμα γέγραφε Στράττις, Φθιώτην Ἀχιλλέα αὐτὸν καλῶν, διὰ τὸ ἐν τῇ αὐτοῦ ποιήσει συνεχῶς τὸ Φθιῶτα (Ἀχιλλεῦ adde) λέγειν· παίζων οὖν εἰς τὴν ἰδέαν αὐτοῦ ἔφη, Φθιῶτ' Ἀχιλλεῦ.* — Alia ex Cinesiae carminibus fortasse delitescunt in parodiis Aristophaniis, velut in Avibus v. 1372 seqq., quamquam ibi etiam aliena admixta sunt, ut non iam liceat illa discernere.

ῥαιβοειδέα (ῥεβοειδέα libri) τρόπον· πλασίων (ita libri, nisi quod D πλάσι, πλαγίως coniecit Charterius, Ἀσκλατίων δὲ Klein, quod ferri nequit, debebat certe Ἀσκλάπων, quemadmodum apud Lydum de ostent. 2 Ἀσκλατίων perperam pro Ἀσκλάπων, apud Sueton. Domit. 15 *Ascletario* pro *Asclepio* legitur) ἐπὶ τοῦ κατά τι μὲν κοίλου (B κοῖλον), κατά τι δὲ καμπύλου (B καμπύλον), ὡς Κινησίας τάσσει τὴν λέξιν. quae descripsit schol. Hippocr. apud Kleinium p. 13. Igitur Cinesias voce ῥαιβός usus est alicubi in carminibus, de qua voce cf. Et. M. 701, 12, ubi cod. Flor. addit καὶ ῥαιβηδὸν (ἐν Διονύσῳ κεχηνότι quod Euphorionis fuit carmen, vid. Miller Misc. 49). Prorsus a vero aberravit M. Schmidt, qui collato Arrhiano Tact. 16, 3 corrigit ὡς καὶ Ἰάσων ἔτασσε τὴν τάξιν.

ARIPHRON.

ΕΙΣ ΥΓΙΕΙΑΝ.

⏑ ⏑ ⏓ ⏑ – – ⏓ ⏑ ⏑ – ⏑ ⏑ – – ⏓ ⏑ ⏑ – ⏑ ⏑ ⏒
⏑ ⏑ ⏓ ⏑ ⏑ – ⏑ ⏓ ⏑ – ⏑ – –
– ⏓ ⏑ – – ⏓ ⏑ ⏑ – ⏑ ⏑ –
– ⏓ ⏑ ⏑ – ⏑ ⏑ – – ⏓ ⏑ ⏑ – ⏑ ⏑ – – ⏓ ⏑ –
⏓ ⏑ ⏑ – ⏑ ⏑ – – ⏓ ⏑ – – ⏓ ⏑ ⏒
⏓ ⏑ – – ⏑ ⏑ – – ⏓ ⏑ – ⏓ ⏓ ⏑ – ⏓ ⏑ – ⏑ – –
⏑ ⏑ ⏓ ⏑ ⏑ – ⏑ ⏑ – ⏒
⏑ ⏓ ⏑ – – ⏓ ⏑ ⏑ – ⏑ ⏑ ⏒
⏑ ⏓ ⏑ – ⏒ ⏓ ⏑ – – ⏓ ⏑ –

Ariphron. Athen. XV 702 A: *Ὅτι παιᾶνα εἰς Ὑγίειαν ἐποίησε τόνδε Ἀρίφρων ὁ Σικυώνιος· Ὑγίεια κτλ.* Carmen legitur non tantum in epitome, unde foras datum est, sed etiam in cod. A, unde edidit Schoell Herm. IV 171. Idem carmen legitur in Boeckhii Corp. Inscr. I 509 (cf. Addenda p. 916) sive C. I. Att. III p. 66, in lapide Cassellis servato, ubi carmen vitiosissime insculptum legitur versuum discriptione neglecta in hunc modum: *Ὑγεία βροτοῖσι πρ. μ. μ. σοῦ νέειν τὸ λ. βίου. σὺ δέ μοι πρόφρων ξυγείην ἠδ' αὖθις ἢ πλούτου χάριν ἢ τεκέων ἠδ' αὖθις εὐδαίμονος ἀνθρώπους βασιληΐδος ἀρχᾶς ἠπιόφρον ζυγίης Ἀφροδείτας ἕλκεσι θηρεύομεν ἤ (εἴ) τις ἄλλα θεόθεν ἀνθρώποισι τέρψις ἢ πόνων ΑΚΛΑΤCΘΑΛΕΙται μετὰ θιαμακε . . ὑγεία τέθαλε καὶ . . . πει Χαρίτων ΟΛΑΛ σέθεν . . . εὐδαίμων ἔφν.* Kaibel Epigr. Gr. 1027, 6 repetiit novo usus apographo, testatur v. 1 *νέιν* ut priores, non *νέειν*, v. 5 *Ἀφροδίτας*, v. 6 initio *ΗJC* i. e. *εἰ δέ (τις)*, deinde *τέρψιν* ut priores, item *ΑΚΟΑΤΕΘΑΝΤΑΙ*, v. 7 *μάκαιρ'*, v. 8 *τέθαλεκ . . . . μπει Χαρίτων ΟΛΟC*, v. 9 *σέθεν δὲ (χ)ωρὶς*. Atticum hoc exemplum, quamvis tot tamque gravibus mendis obsitum, tamen passim (vid. v. 5 et 8) opem tulit. Initium usque ad *βιοτᾶς* afferunt Lucian. de lapsu inter sal. c. 6: *ἵνα σοι μὴ τὸ γνωριμώτατον ἐκεῖνο καὶ πᾶσι διὰ στόματος λέγω.* et Maxim. Tyr. XIII: *ᾄδεταί τι ἐξ ἀρχαίου ἄσμα ἐν εὐχῆς μέρει.* — Ariphronem quamvis dubitanter huc olim rettuli. Antiquum poetam esse qui hoc paeane utuntur significant, quamquam vel numeri suadent, ne ad nimis remotum tempus hunc poetam referamus. Neque falsa specie me deceptum esse arguit titulus Atticus apud Rhangabé Ant. Gr. II n. 981 (Hermes II 23) *ΑΡΙΦΡΩΝΕJΙJΑΣΚΕΝ*, quod monumentum didascalicum cum litterarum species tum alia indicia arguunt non ita multo post finem belli Peloponnesii excitatum esse. Fuit igitur

Ὑγίεια, πρεσβίστα μακάρων, μετὰ σεῦ ναίοιμι τὸ λειπό-
μενον 1250
βιοτᾶς, σὺ δέ μοι πρόφρων σύνοικος εἴης·
εἰ γάρ τις ἢ πλούτου χάρις ἢ τεκέων,

Ariphro Philoxeno ceterisque dithyrambicae poesis, qui tunc extiterunt, principibus aetate fere suppar, item Licymnio, quamvis hic ut videtur aliquantum provectior. Quo magis animadversione dignus consensus, qui inter Ariphronis paeanem (hoc enim nomine insignit Athenaeus) et reliquias carminis, quod Licymnio tribuit Sextus Emp., intercedit. Conieci aliquando de auctore huius carminis dubitationem fuisse, ita ut alii ad Ariphronem, alii ad Licymnium rettulerint, vid. Licym. fr. 4, neque integrum carmen servatum esse, ac fortasse Athenaeum scripsisse *Ἀρίφρων ἢ Λικύμνιος*. Verum hanc suspicionem dudum abieci: nam Ariphronis carmen integrum esse servatum non solum arguunt Athenaeus et lapis Atticus plane congruentes, sed etiam Lucianus et Maximus Tyrius, v. 1—2 adscribentes, manifesto carminis exordium adhibent; videntur enim hoc carmen etiam saec. II p. Chr. n. in conviviis recitavisse: nam patrio more novissimum poculum Aesculapii natae propinabant (*μεταναιπτρίδα τῆς Ὑγιείας*). Licymniūs autem alio exordio usus est, quod non licet conglutinare cum Ariphronis paeane. Iam quod Ariphronis versus tres (3. 4. 8) totidem verbis leguntur apud Licymnium, alterum alterius carmine usum esse apparet, sed inventi laus utrum Licymnio an Ariphroni sit vindicanda, non diiudicaverim: nisi forte uterque antiquioris carminis flores decerpsit. Athenis enim die VIII mensis Elaphebolionis proxime ante Dionysia, qui dies Aesculapio erat consecratus, in eius dei honorem paeanes canebantur, vid. Soph. fr. supra II p. 245 sqq. Neque Aesculapii filia expers fuit honoris. Iam si quotannis nova carmina non solum in Aesculapium sed etiam in filiam condenda erant, non est mirum poetas, cum omnia fere iam delibata essent, misso novandi periculo, a prioribus passim sumpsisse, quae se non melius exornare posse crederent. Meineke Ariphronis carmen a Licymnii hymno non diversum esse censet, existimans Sextum errore quodam Licymnii nomen in Ariphronis locum substituisse. Etiam Hartung ad unum carmen omnia refert, sed contendit Sexto maiorem fidem habendam esse, quam Athenaeo, ac praeterea suspicatur apud Athenaeum scribendum esse *ἐποίησεν Ἀρίφρονι Λικύμνιος*. — Versus carminis passim aliter discribendos censet M. Schmidt Pind. Ol. p. LXXIX. — V. 1. *Ὑγίεια* Athen., *Ὑγεία* Luc. Max. neque aliter lapis secundum consuetudinem istius saeculi, quamquam iam Demosthenis aetate haec forma usu venit, siquidem in Attico titulo Ol. 105, 4 vel 106, 1 navis semel *Ὑγεία* comparet, quae alias *Ὑγιεία* appellatur, vid. Boeckh. Seeurk. p. 323. Neque tamen hoc loco admitti potest ista forma, nam grammatici testantur trisyllabam ultima producta dici, hinc in epigrammate Romano CIGr. IV 6273 *Ὑγείη* scriptum, item in noviciis poematis passim *ὑγίης* et *ὑγίην* legitur. — *σεῦ* Luc., *σοῦ* Ath. Max. — *ναίοιμι*, Luc. vulgo (non codd.) et Maximi cod. Par. *νέοιμι*, Nauck *ναίοιν βίου* ex titulo non recte: fortasse in exemplo fuit *ναίειν με*, quemadmodum in votis suspiciendis passim infinitivus adhiberi solet. — V. 2. *σύνοικος εἴης*, Hartung titulo Attico obsecutus *συνείης*, perperam, nam ne id quidem constat, utrum *ξυνείης* an *ζυγείης* lapidarius in suo exemplo repererit. Maximus tuetur *ξύνοικος* scribens *ξύνοικον αὐτῷ ἐλθεῖν παρακαλεῖ*. — V. 3. *εἰ* (*ἢ* A) *γάρ τις ἢ* (*ἢ* A), Hartung ex Licymnio *τίς γὰρ ἦ*. Aut hoc Ariphronis aut Licymnii carmen (vid.

ἢ τᾶς ἰσοδαίμονος ἀνθρώποις βασιληΐδος ἀρχᾶς, ἢ πόθων,
οἷς κρυφίοις Ἀφροδίτας ἔρκεσιν θηρεύομεν,
ἢ εἴ τις ἄλλα θεόθεν ἀνθρώποισι τέρψις ἢ πόνων ἀμπνοὰ
πέφανται,
μετὰ σεῖο, μάκαιρ' Ὑγίεια,
τέθαλε [πάντα] καὶ λάμπει Χαρίτων ἔαρι,
σέθεν δὲ χωρὶς οὔτις εὐδαίμων (ἔφυ).

fr. 4) resp. Plutarchus de virtut. mor. c. 10: ἥ τε τοῦ σώματος ὑγεία . . . δοκεῖ μέγιστον ἀγαθόν· οὔτε γὰρ πλούτου χάριν ἢ τεκέων, οὔτε τᾶς ἰσοδαίμονος ἀνθρώποις βασιληΐδος ἀρχᾶς, τελευτῶντες δὲ καὶ τὴν ἀρετὴν ἀνωφελῆ καὶ ἀνόνητον ἡγοῦνται, τοῦ ὑγιαίνειν μὴ παρόντος: sed cum de virtute nihil dictum sit in Ariphronis poematio, Plutarchus censendus est Licymnium adhibuisse, qui amplificandi gratia hanc sententiam exornaverit. Huc adde Plut. de fraterno amore c. 2 (Stob. Flor. 84, 9): Ἧς χωρὶς οὔτε πλούτου, φασίν, οὔτε τᾶς ἰσοδαίμονος ἀνθρώποις βασιληΐδος ἀρχᾶς εἶναί τινα χάριν καὶ ὄνησιν. Sed Themist. Or. XI 151 *βασιλ. ἀρχᾶς* clarum poetam, quem cum Pindaro componit, dixisse testatus, utrius poemation versaverit, incertum. — V. 4. ἢ ante τᾶς Boeckh ex Licymnio adiecit — *ἰσοδαίμονος* Epit. Hoeschelii, *ἰσοδαιμονός τ'* C, *εἰσοδαίμονος* (*τ'*) A, *εὐδαίμονός τ'* L, *ἰβδαίμονός τ'* V. — ἢ *πόθων*, A *πόθων*. — V. 5. *κρυφίοις*, Hartung *ἐν κρυφίοις*. — *Ἀφροδίτας* C, *ἀφροδίτης* VL. — *ἔρκεσι* scripsi, lapis *ελκεσι*, quod manifesto mendosum antiquae scripturae vestigia servat, Athen. *ἄρκυσιν* (A *ἀρκουσι*, cod. epit. ap. Schoell. *ἄρκυσι*) quae est interpretatio, cf. Hesych. *ἔρκεσι· δικτύοις*, schol. Hom. Od. XXII 409 *ἔρκει*, *νῦν τῷ δικτύῳ*, adde Polluc. V 26 et Photium. Sophocles saepius utitur, velut de Nauplio ap. Herod. *π. μον. λ.* 31, ubi corrigas (*καὶ*) *κάτω* (*κάρα*) *κρέμανται*, *σπίζ' ὅπως ἐν ἔρκεσιν*. — V. 6. ἢ εἴ *τις*, A utrum hoc an ἢ ἔτι *τις* exhibeat, incertum, lapis *ΗΛCTIC* (?), Hartung ἤ *τις* scripsit. — *ἄλλα*, A *ἄλλᾳ*. — V. 7. *μάκαιρ'*, *μάκαιρα* ACVL. — *Ὑγίεια*, A *ὑγεια*. — V. 8. *τέθαλε* C, *τέθηλε* VL, utrumque A. — *πάντα* prorsus otiosum, praeterea iusto numero adversatur, quod quidem animadvertit Boeckh, summus harum rerum arbiter, qui *καὶ τέθαλε πάντα καὶ* suasit, at vocula illa plane iners est, itaque praeeunte Hartungo adpunxi *πάντα*, quod omisit lapis, hoc loco interpolationis expers, cum v. 1 ineptum additamentum *βροτοῖσι* praebeat. — *ἔαρι* scripsi, quamquam etiam *ἔαρος* conveniens, quemadmodum Pindarus Ol. II 72 *ἄνθεμα χρυσοῦ φλέγει* dixit, vulgo *ἔαρ*, A *ὄαρος* vel *ὄαροι*, C *ὄαρ*, epit. Hoeschelii *ὄαρι*, epit. (Laurentiana?) *ὄαρι γρ. ὄαρ*, lapis *OAOC* i. e. *ὄα(ρ)ος*, non *φάος*, ut Kaibelio visum. Hartung solita audacia *ἔαρα* scripsit. — V. 9. *ἔφυ* ex Licymnio et titulo adiecit Boeckh et Mehlhorn.

LICYMNIUS.

1.

⏑ – – ⏑ – ⏑ – ⏑ – ⏑ –

Μυρίαις παγαῖς δακρύων ἀχέων τε βρύει.

2.

. . . – ⏑ – ⏑ –
⏑ ⏑ – – ⏑ . . .

. . . Ἀχέρων ἄχεα
βροτοῖσι πορθμεύει. . . .

3.

– ⏑ – – ⏑ – – ⏑ – ⏑ –
– ⏑ – ⏑ – –

Ὕπνος δὲ χαίρων ὀμμάτων αὐγαῖς ἀναπεπταμένοις
ὅσσοις ἐκοίμιζε κοῦρον.

Licymnius. Fr. 1. Stob. Ecl. Phys. I 41, 50: *Ἀχέροντα μὲν διὰ τὰ ἄχη (κατωνομάκασιν) . . . ἔτι καὶ Λικύμνιός φησι· Μυρίαις κτλ.* — *παγαῖς* Grotius, v. *πάσαις*. Ante *ἀχέων* Grotius *Ἀχέρων* addidit, quod videtur commendare unus cod. (V) *ἀχέρων* pro *ἀχέων* exhibens, sed numeris adversatur hoc additamentum, itaque abieci: nomen hoc aut subsequente versu legebatur, nisi forte scribendum:

Μυρίαις παγαῖς δακρύων ἀχέων τ' (Ἀχέρων)
βρύει.

Fr. 2. Stob. ibid.: *καὶ πάλιν· Ἀχέρων κτλ.* — V. 2. Meineke transponere mavult *πορθμεύει βροτοῖσιν.*

Fr. 3. Athen. XIII 564 C: *Λικύμνιος δ' ὁ Χῖος τὸν Ὕπνον φήσας ἐρᾶν τοῦ Ἐνδυμίωνος οὐδὲ καθεύδοντος αὐτοῦ κατακαλύπτει τοὺς ὀφθαλμούς, ἀλλ' ἀναπεπταμένων τῶν βλεφάρων κοιμίζει τὸν ἐρώμενον, ὅπως διὰ παντὸς ἀπολαύῃ τῆς τοῦ θεωρεῖν ἡδονῆς· λέγει δ' οὕτως· Ὕπνος κτλ.* — V. 1. *Ὕπνος* L, *ὕπνον* PV, *ὕμνον* B. — V. 2. *ἐκοίμιζε*, ABP *ἐκοίμιζεν*, Meineke coni. *ὅσσοισιν ἐκοίμισε κοῦρον*, M. Schmidt *ἐκοίμιζεν κόρας.*

4.

(ΕΙΣ ΤΥΧΕΙΑΝ.)

. . ∪ ∪ – ∪ ∪ – ∪ – – ∠ ∪ –
– ∠ ∪ – – ∠ ∪ ∪ – ∪ ∪ ⏑ –
∠ ∪ ∪ – ∪ ∪ – ⏑
* * *
∠ ∪ – – ∠ ∪ ∪ – ∪ ∪ – 1252
– ∠ ∪ ∪ – ∪ ∪ – – ∠ ∪ ∪ – ∪ ∪ – –
⏑ ∠ ∪ – ∪ ∠ ∪ – – ∠ ∪ –

Λιπαρόμματε μᾶτερ, ὑψίστων θρόνων
σεμνῶν Ἀπόλλωνος βασίλεια ποθεινά,
πραϋγέλως Ὑγίεια.
* * *
Τίς γὰρ ἢ πλούτου χάρις ἢ τεκέων,
ἢ τᾶς ἰσοδαίμονος ἀνθρώποις βασιληΐδος ἀρχᾶς;
σέθεν δὲ χωρὶς οὔτις εὐδαίμων ἔφυ.

5.

Athen. XIII 603 D: *Λικύμνιος* (ita Reinesius, libri *ἀλκύμνιος*) *δὲ ὁ Χῖος ἐν διθυράμβοις Ἀργύννου φησὶν ἐρώμενον Ὑμέναιον γενέσθαι.*

6.

Parthen. Narr. Am. c. 22: *Περὶ Νανίδος. Ἡ ἱστορία παρὰ Λικυμνίῳ τῷ Χίῳ μελοποιῷ καὶ Ἑρμησιάνακτι. Ἔφασαν δέ τινες καὶ τὴν Σαρδίων ἀκρόπολιν ὑπὸ Κύρου τῶν Περσῶν βασιλέως ἁλῶναι, προδούσης τῆς Κροίσου θυγατρὸς Νανίδος. Ἐπειδὴ γὰρ ἐπολιόρκει Σάρδεις Κῦρος καὶ οὐδὲν αὐτῷ εἰς ἅλωσιν τῆς πόλεως προὔβαινειν, ἐν πολλῷ τε δέει ἦν, μὴ ἀθροισθὲν τὸ συμμαχικὸν αὐτῆς τῷ Κροίσῳ διαλύσειεν αὐτῷ τὴν στρατιάν, τότε τὴν παρθένον ταύτην εἶχε λόγος περὶ προδοσίας συνθεμένην τῷ Κύρῳ, εἰ κατὰ νόμους Περσῶν ἕξει γυναῖκα αὐτήν, κατὰ τὴν ἄκραν μηδενὸς φυ-*

Fr. 4. Sext. Emp. XI 49, 556 ed. Bekker: *Λικύμνιος δὲ προειπὼν ταῦτα· Λιπαρόμματε . . . ὑγεία. ποῖον ὑψηλὸν ἐπιφέρει· τίς γὰρ πλούτου κτλ.* De necessitudine, quae inter hoc Licymnii et Ariphronis carmen intercedit, vide supra p. 596. — V. 3. *Ὑγίεια*, legebatur *ὑγεία*. — V. 4. *τίς γὰρ ἢ* scripsi, vulgo *τίς γάρ*. — *τεκέων* ex Ariphrone restitutum, vulgo *τοκήων*. — V. 5. *ἀνθρώποις* ex Ariphrone restitutum, vulgo *ἀνθρώπου*. — Inter v. 5 et 6 nonnulla a Sexto praetermissa esse manifestum: neque vero carminis novissima pars plane congruebat cum Ariphronis hymno, sed peculiaria quaedam habebat, vid. ad Ariphr. v. 3.

λάσσοντος δι' ὀχυρότητα τοῦ χωρίου εἰσδέχεσθαι τοὺς πολεμίους, συνεργῶν αὐτῇ καὶ ἄλλων τινῶν γενομένων· τὸν μέντοι Κῦρον μὴ ἐμπεδῶσαι αὐτῇ τὴν ὑπόσχεσιν.

7.

Ael. Fest. Aphthon. p. 241 ed. Gaisf.: „*Μέλος* autem dictum putant a Melia (legebatur *Meline*, quod correxi) Oceani filia, quam primum quatuor chordis usam adfirmat Lysanias (cf. Boisson. An. IV 458), sive ut Licymnius *ἀπὸ τοῦ μελεάζειν, τουτέστι θρηνεῖν*.“ Nisi forte hoc ex rhetorico aliquo libro petitum, de quibus Spengel dixit Synag. Techn. p. 88; quorsum etiam refero, quod legitur Schol. Il. β 106. Quod Dionys. Hal. de Dem. 1035 affert: *καὶ ταῦτα τὰ πάρισα οὐ Λικύμνιοι ταῦτ' εἰσὶν οὐδ' Ἀγάθωνες οἱ λέγοντες ὕβριν ἢ πρὶν μισθῷ ποθὲν ἢ μόχθον πατρίδων* (Schmidt coni. *ὕβριν ἢ Κύπριν ὅσσων πόθον ἢ μόχθον πραπίδων*), utrum Agathonis an Licymnii sit incertum.

PHILOXENUS.

ΔΕΙΠΝΟΝ.

1.

. . . ∪ ∪ – –
– ∪ ∪ – ∪ ∪ – – – ∪ ∪ – ∪ ∪ – ∪ – ∪ ∪ – ∪ ∪ – ∪
– ∪ ∪ – ∪ ∪ – – – ∪ ∪ – ∪ ∪ – – – ∪ ∪ – ∪ ∪ – ∪

. . . Κατὰ χειρὸς δ'
ἤλυθ' ὕδωρ· ἁπαλὸς παιδίσκος ἐν ἀργυρέᾳ φέρων προχόῳ
ἐπέχευεν·
εἶτ' ἔφερε στέφανον λεπτᾶς ἀπὸ μυρτίδος εὐγνήτων κλα-
δέων δισύναπτον.

2.

Εἰς δ' ἔφερον διπλόοι παῖδες λιπαρῶπα τράπεζαν
ἄμμ', ἕτεροι δ' ἑτέραν, ἄλλοι δ' ἑτέραν, μέχρι οὗ πλήρω-
σαν οἶκον.

Philoxenus. De Philoxeno ceterisque dithyrambographis cf. M. Schmidt Diatribe in Dithyrambum, Berol. 1845. De Philoxeni poemate, quod *Δεῖπνον* inscribitur, commentatus est Meineke Poet. Com. III 635 seqq.

Fr. 1. Athen. XV 685 D: *Φιλόξενος δ' ὁ διθυραμβοποιὸς ἐν τῷ ἐπιγραφομένῳ Δείπνῳ ἀρχὴν ποιεῖται τὸν στέφανον τῆς εὐωχίας οὕτωσὶ λέγων· Κατὰ χειρὸς κτλ.* — V. 2. *δ' ἤλυθ'*, B *διήλυθ'*. — *φέρων προχόῳ* scripsi, libri *προχόῳ φέρων*. Erfurdt *πρόχῳ φέρων*. Hartung *κατὰ χειρὸς λεῖβεν ὕδωρ ἁπαλὸς παιδίσκος· ἐν ἀργυρέᾳ πρόχῳ δὲ φέρων ἐπ.* — V. 3. *ἔφερε*, B *ἔφερεν*. — *στέφανον λεπτᾶς ἀπὸ μυρτίδος* Grotefend, vulgo *στεφανολεπτὰς ἀπὸ μυρτίδων*. — *εὐγνήτων*, fort. *εὐγνάμπτων*. — *κλαδέων* correxi, legebatur *κλάδων*. M. Schmidt coni. *κλαδίων θυσανωτόν*, Hartung *κλαδίων δασύνακτον*.

Fr. 2. Athen. IV 146 F: *Φιλόξενος δ' ὁ Κυθήριος ἐν τῷ ἐπιγραφομένῳ Δείπνῳ, εἴπερ τούτου καὶ ὁ κωμῳδιοποιὸς Πλάτων ἐν τῷ Φάωνι ἐμνήσθη, καὶ μὴ τοῦ Λευκαδίου Φιλοξένου, τοιαύτην ἐκτίθεται παρασκευὴν δείπνου· Εἰς δ' ἔφερον κτλ.* usque ad v. 39 *κατὰ χειρῶν*. — V. 1 affert Eust. 1388, 64. — V. 2. *ἄμμ'* scripsi, AB *ἄμμι*,

ταὶ δὲ πρὸς ὑψιλύχνους ἔστιλβον αὐγάς
εὐστέφανοι λεκάναις παροψίσι τ' ὀξυβάφων [πλήρεις]
σύν τε χλιδῶσαι 1254
παντοδαποῖσι τέχνας εὑρήμασι πρὸς βιοτάν, ψυχᾶς δελεασματίοισιν.
. . . πάρφερον ἐν κανέοις μάξας χιονόχροας, ἄλλοι δ' . .
(τοῖς δ') ἔπι πρῶτα παρῆλθ' οὐ κάκκαβος, ὦ φιλότας,
ἀλλ' ἀλλοπλατεῖς τὸ μέγιστον
πάντ' ἔπαθεν λιπαρόν τ' ἐς ἐγχέλεά τινες ἄριστον,
γογγροιτοιωνητεμων πλῆρες θεοτερπές· ἐπ' αὐτῷ δ'
ἄλλο παρῆλθε τόσον, βάτις δ' ἐνέης ἰσόκυκλος.
μικρὰ δὲ κακκάβι' ἦς, ἔχοντα τὸ μὲν γαλεοῦ τι,
ναρκίον ἄλλο, ...
. παρῆς ἕτερον πίων ἀπὸ τευθιάδων καὶ σηπιοπουλυποδείων
(τῶν) ἁπαλοπλοκάμων· θερμὸς μετὰ ταῦτα παρῆλθεν
ἰσοτράπεζος ὅλος νῆστις συνόδων . . . . . .

